Τοῦ γράμματος *α* δὲν διακρίνεται πανταχοῦ ἡ μέση γραμμή· ὡσαύτως οὐδὲ τοῦ *θ* ἡ στιγμή. Τοῦ *σ* τὰ σκέλη ὀλίγον εἰσὶν ἀνοικτά, ἐνιαχοῦ δὲ μονονοὺ παράλληλα, τοῦ δὲ *υ* πολλαχοῦ τὸ κάτω μετὰ τοῦ ἑτέρου βραχίονος σχηματίζει καμπύλη (Ύ).

Στίχ. 8. Μετὰ τὸ *τὸν* κενὸν ἢ ὡσεὶ ἴχνη ν (ἢ γ;) ἐξαληλιμμένου.

Στίχ. 16. Μεταξὺ τοῦ *ὅπως* καὶ *ἂν* ἓν ς περισσόν.

Στίχ. 24. Μετὰ τὸ *δὲ* ἐκ παραδρομῆς τοῦ χαράκτου φαίνεται *τατὰ* ἀντὶ *κατά*.

Στίχ. 25. Τὰ 7 τελευταῖα γράμματα τοῦ *συντιθεὶς* φαίνονται ὡς ἐπὶ ἄλλων ἐπιγεγλυμμένα, ἰδίᾳ δὲ τὸ *ντ* καὶ τὸ *θείς*.

Στίχ. 28. Ἐν λέξεσι *λί(θ)ους* καὶ *λί(θ)οις* παρελείφθη τὸ ἕτερον τῶν κυκλικῶν γραμμάτων (θ ἢ ο).

Στίχ. 30. Τὸ πρὸ τοῦ *βωμὸν* γράμμα φαίνεται μ μᾶλλον ἢ ν (πρβ. *ὀχετὸμ* ἐν στίχ. 5).

Στίχ. 36. Τὰ μετὰ τὸ *δίαν* δύο γράμματα δὲν διακρίνονται καλῶς.

Στίχ. 37. Μετὰ τὸ *Εὐωνυμεὺς* τὰ λοιπὰ τοῦ στίχου εἰσὶν ἐπίτηδες ἀπεσβεσμένα· ὁμοίως δὲ καὶ μετ' αὐτὸν φαίνεται χῶρος βαθύτερον γεγλυμμένος ὡς δύο ἐπίτηδες ἀπεσβεσμένων στίχων.

Ἐπιμεληταὶ ἀναγράφονται καὶ ἐν τῷ ἀττικῷ ψηφίσματι ἀριθ. 36 (Πρβ. *ἐπιμελητοῦ* ΕΑ. 1889 σελ. 7-10).

[1]. Περὶ τῶν ἀνασκαφῶν τούτων πρβ. τὰ ἐκδοθησόμενα «Πρακτικὰ» τοῦ 1890.

35

ΘΕΟΙ

ΛΥΣΑΝΔΡΟΣΕΙΠΕΝΟΠΩΣΑΜΠΟΡΟΣΧΡΗΜΑΤΩΓ
ΓΙΝΗΤΑΙΕΙΣΤΗΝΟΙΚΟΔΟΜΙΑΝΤΟΥΤΕΙΧΟΥΣΚΑΙ
ΣΥΝΤΕΛΕΣΘΕΝΤΩΝΤΩΝΤΕΙΧΩΝΧΡΗΣΙΜΟΙ
ΩΜΕΝΑΥΤΟΙΤΕΑΥΤΟΙΣΚΑΙΤΩΙΚΟΙΝΩΙΒΟΙΩΤΩΝ
ΔΕΔΟΧΘΑΙΤΩΙΔΗΜΩΙΤΟΥΣΤΕΙΧΟΠΟΙΟΥΣΚΑΙ
ΤΟΥΣΠΟΛΕΜΑΡΧΟΥΣΔΑΝΕΙΣΑΣΘΑΙΧΡΗΜΑ
ΤΑΕΑΜΠΟΘΕΝΔΥΝΩΝΤΑΙΤΟΚΩΝΟΤΙΑΝΕΛΑ
ΧΙΣΤΩΝΔΥΝΩΝΤΑΙ⁝ΤΟΙΣΔΕΔΑΝΕΙΣΑΣΙΝ
ΑΠΟΔΟΥΝΑΙΤΑΧΡΗΜΑΤΑΕΝΤΩΙΕΝΙΑΥΤΩΙ
ΤΩΙΜΕΤΑΩΡΩΠΟΔΩΡΟΝΙΕΡΕΑΑΥΤΑΚΑΙΤΟΥΣ
ΤΟΚΟΥΣΩΝΑΝΕΚΑΣΤΑΔΑΝΕΙΣΩΝΤΑΙΤΟΥΣΔΕ
ΔΑΝΕΙΣΑΝΤΑΣΤΗΙΠΟΛΕΙΕΙΣΤΟΝΤΕΙΧΙΣΜΟΝ
ΜΕΧΡΙΤΑΛΑΝΤΟΥΚΑΙΤΟΥΠΛΕΟΝΟΣΤΟΚΩΝ
ΤΩΝΕΠΙΔΕΚΑΤΩΝΠΡΟΞΕΝΟΥΣΕΙΝΑΙΚΑΙΕΥ
ΕΡΓΕΤΑΣΤΗΣΠΟΛΕΟΣΩΡΩΠΙΩΝΚΑΙΑΥΤΟΥΣ
ΚΑΙΕΚΓΟΝΟΥΣΚΑΙΕΙΝΑΙΑΥΤΟΙΣΓΗΣΚΑΙΟΙΚΙΑΣ
ΕΓΚΤΗΣΙΝΚΑΙΙΣΟΤΕΛΕΙΑΝΚΑΙΑΣΦΑΛΕΙΑΝΚΑΙ
ΑΣΥΛΙΑΝΚΑΙΠΟΛΕΜΟΥΚΑΙΕΙΡΗΝΗΣΚΑΙΚΑΤΑΓΗΝ
ΚΑΙΚΑΤΑΘΑΛΑΤΤΑΝΚΑΙΤΑΑΛΛΑΠΑΝΤΑΚΑΘΑΠΕΡ
ΤΟΙΣΠΟΛΙΤΑΙΣΚΑΙΑΝΑΓΡΑΨΑΙΑΥΤΟΥΣΠΑΤΡΟ
ΘΕΝΣΤΗΛΗΙΛΙΘΙΝΗΙΚΑΙΣΤΗΣΑΙΕΝΤΩΙΙΕΡΩΙ
ΤΟΥΑΜΦΙΑΡΑΟΥΟΣΟΙΔΑΝΕΛΑΤΤΟΝΤΑΛΑΝΤΟΥ
ΔΑΝΕΙΣΩΣΙΝΤΗΙΠΟΛΕΙΥΠΕΡΤΟΥΤΩΝΤΟΝΔΗΜΟΝ
ΕΠΙΣΚΕΨΑΣΘΑΙΚΑΘΟΤΙΑΝΕΚΑΣΤΟΣΑΥΤΩΝΑΞΙΟΣ
Η⁝ΤΙΜΗΘΗΝΑΙΥΠΟΤΗΣΠΟΛΕΩΣΑΝΑΓΡΑΨΑΙΤΟΥΣ
ΠΟΛΕΜΑΡΧΟΥΣΤΟΨΗΦΙΣΜΑΕΝΣΤΗΛΗΙΛΙΘΙΝΗΙ
ΚΑΙΣΤΗΣΑΙΕΝΤΩΙΙΕΡΩΙΤΟΥΑΜΦΙΑΡΑΟΥ⁝ΤΟΝΔΕ
ΤΑΜΙΑΝΤΟΑΛΩΜΑΔΟΥΝΑΙ
ΟΙΔΕΠΡΟΞΕΝΟΙΚΑΙΕΥΕΡΓΕΤΑΙΚΑΤΑΤΟΨΗΦΙΣΜΑ
ΝΙΚΩΝΧΑΡΜΙΔΟΣ

Θεοί.

Λύσανδρος εἶπεν· ὅπως ἂμ πόρος χρημάτωγ γίνηται εἰς τὴν οἰκοδομίαν τοῦ τείχους καὶ συντελεσθέντων τῶν τειχῶν χρήσιμοι ὦμεν αὐτοί τε αὐτοῖς καὶ τῶι κοινῶι Βοιωτῶν, δεδόχθαι τῶι δήμωι τοὺς τειχοποιοὺς καὶ τοὺς πολεμάρχους δανείσασθαι χρήματα, ἐάμ ποθεν δύνωνται, τόκων ὅτι ἂν ἐλαχίστων δύνωνται. Τοῖς δὲ δανείσασιν ἀποδοῦναι τὰ χρήματα ἐν τῶι ἐνιαυτῶι τῶι μετὰ Ὠρωπόδωρον ἱερέα, αὐτὰ καὶ τοὺς τόκους, ὧν ἂν ἕκαστα δανείσωνται· τους δὲ δανείσαντας τῆι πόλει εἰς τὸν τειχισμὸν μέχρι ταλάντου καὶ τοῦ πλέονος τόκων τῶν ἐπιδεκάτων προξένους εἶναι καὶ εὐεργέτας τῆς πόλεως Ὠρωπίων, καὶ αὐτοὺς καὶ ἐκγόνους, καὶ εἶναι αὐτοῖς γῆς καὶ οἰκίας ἔγκτησιν, καὶ ἰσοτέλειαν καὶ ἀσφάλειαν καὶ ἀσυλίαν, καὶ πολέμου καὶ εἰρήνης, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ τὰ ἄλλα πάντα καθάπερ τοῖς πολίταις, καὶ ἀναγράψαι αὐτοὺς πατρόθεν ἐν στήληι λιθίνηι καὶ στῆσαι ἐν τῶι ἱερῶι τοῦ Ἀμφιαράου· ὅσοι δ' ἂν ἔλαττον ταλάντου δανείσωσιν τῆι πόλει, ὑπὲρ τούτων τὸν δῆμον

ἐπισκέψασθαι καθ' ὅ τι ἂν ἕκαστος αὐτῶν ἄξιος
ἥ[ι] τιμηθῆναι ὑπὸ τῆς πόλεως· ἀναγράψαι τοὺς
πολεμάρχους τὸ ψήφισμα ἐν στήληι λιθίνηι
καὶ στῆσαι ἐν τῶι ἱερῶι τοῦ Ἀμφιαράου. Τὸν δὲ
ταμίαν τὸ Αλωμα δοῦναι.
Οἵδε πρόξενοι καὶ εὐεργέται κατὰ τὸ ψήφισμα·
Νίκων Χάρμιδος.

Στήλη λευκοῦ μαρμάρου, ἄνευ κόσμου τινός. Ὑψ. 1,17, πλ. 0,42—0,46, πάχ. 0,09—0,11. Εὑρέθη πρανὴς ἔξωθεν τοῦ σωζομένου μακροῦ τοίχου τοῦ Ναοῦ κατὰ τὸ μέσον (περὶ τὰ 15μ. ἀπὸ τοῦ βάθρου Σύλλα), ἐπὶ τοῦ ὑδραγωγείου Δ.

Τὰ γράμματα τοῦ 1ου στίχου εἰσὶ μεγάλα (0,02) τὰ δὲ λοιπὰ κατὰ τὸ ἥμισυ ἐλάσσονα. Τὸ *ο*, *θ* καὶ *ω* σχεδὸν ἰσοϋψῆ τοῖς ἄλλοις. Ἡ ἐπιγραφὴ εἶνε ἐπιμελέστατα καὶ κάλλιστα κεχαραγμένη.

Στίχ. 2. *Γίνηται*. Ἐν τῷ ἀττ. ψηφίσματι ἀριθ. 37 *γίγνηται*. Πρβ. Meisterhans *Gramm.* σελ. 59 καὶ 141.

Στίχ. 16. Τὸ *πόλεος* γέγραπται διὰ τοῦ ο, κατωτέρω δὲ (στίχ. 26), διὰ τοῦ ω[1]. Πρβ. *πόλεος* (ΕΑ. 1885 σελ. 96, ΕΑ. 1886 σελ. 71) ἐν ἑτέραις ἐπιγραφαῖς τοῦ Ὠρωποῦ, εἰς οὗ ἄλλως τὴν γλῶσσαν εἶχε ῥοπήν τινα καὶ ἡ τῶν γειτόνων λαῶν.

Στίχ. 29. *ἄλωμα* (ἄνευ τοῦ *ἀν*) ἀπαντᾷ μόνον ἐν τῇ περὶ Νικαρέτης ἐπιγραφῇ τοῦ Ὀρχομενοῦ (Larfeld *Sylloge* 16 στίχ. 38). Τὸ αὐτὸ δὲ μόνον χωρίον ἀναφέρεται καὶ ἐν Στ. Κουμανούδη *Συναγωγῇ* (=*Bull. de Corr. hell.* 4, σ. 4 στ. 139).

Περὶ τοῦ ὀνόματος Λύσανδρος πρβ. κατωτ. (ἀριθ. 52, 1).

Ὡς πρὸς τὴν σύνθεσιν τοῦ ὀνόματος *Ὠρωπόδωρος* (ἄλλον ὅρα ἐν ΕΑ. 1889 σελ. 35) πρβ. καὶ «Κλεομέδων *Ὠρωποκλέου*» ἐν Ἐρετρίας ἐπιτυμβίῳ στήλῃ (ἑλληνικῶν χρόνων· Δελτ. Ἀρχ. 1889 σελ. 168· γρμ. Κ, μ σχεδὸν παραλληλοσκελές, Ν, Π), *Ὠρωποκλῆς* ἐν Ἐρετρίας καταλόγῳ (ΕΑ. 1887 σελ. 101-102 στίχ. 141. Πρβ. καὶ τὰ περὶ Εὐβοϊκοῦ Ὠρωποῦ). Ἔτι δὲ *Ὠρώπιχος*, αὐτ. στίχ. 286 (πρβ. Chr. Blinkenberg *Eretriske Gravskrifter* [Kobenhavn 1891] Nº 72, ὅπου μνημονεύεται καὶ τὸ ἐν Ἀρχ. Ἐφημ. 1859 ἀριθ. 3524, διορθούμενον εἰς *Ὠρωποκλῆς Βιόττου .... καὶ Βίοττος Ὠρωποκλέου ....*). Τὰς συνθέσεις ταύτας ἐτυμολογεῖ ὁ Blinkenberg οὐχὶ ἀπὸ τοῦ τοπικοῦ *Ὠρωπός*, ἀλλ' ἀπὸ τοῦ ὁμωνύμου ἥρωος (ὅρα Στέφ. Βυζ. ἐν λέξ. *Ὠρωπός*).

Πολέμαρχοι ἀναφέρονται καὶ ἐν τῷ περὶ τῶν ἀργυρωμάτων ψηφίσματι (CIG 1570)[1]. Τοῖς πολεμάρχοις ἀνατίθεται ἡ ἀναγραφὴ ψηφίσματος καὶ κατωτέρω (ἀριθ. 53, 1). Ὅρα καὶ ἀριθ. 39, 40, 57.

Σημειωτέον ὅτι ἐν τέλει κάτωθεν τοῦ *Νίκων Χάρμιδος* δὲν ὑπάρχει ἄλλο ὄνομα προξένου καὶ εὐεργέτου.

Ὅτι ἡ ἐπιγραφὴ ἀνάγεται εἰς χρόνους, καθ' οὓς ὁ Ὠρωπὸς δὲν ἦτο ὑπὸ τοὺς Ἀθηναίους, ἐξάγεται ἐκ τοῦ 5ου στίχου.

36

Θ Ε Ο Ι
Ε Π Ι Ν Ι Κ Η Τ Ο Υ Α Ρ Χ Ο Ν Τ Ο Σ Ε Π Ι Τ Η Σ Ε Ρ Ε
Χ Θ Η Ι Δ Ο Σ Ε Ν Α Τ Η Σ Π Ρ Υ Τ Α Ν Ε Α Σ Η Ι Α Ρ Ι
Σ Τ Ο Ν Ο Υ Σ Α Ρ Ι Σ Τ Ο Ν Ο Υ Α Ν Α Γ Υ Ρ Α Σ Ι Ο Σ
Ε Γ Ρ Α Μ Μ Α Τ Ε Υ Ε Ν Ε Ν Δ Ε Κ Α Τ Η Ι Τ Ρ Ι Τ Η Ι
Κ Α Ι Ε Ι Κ Ο Σ Τ Η Ι Τ Η Σ Π Ρ Υ Τ Α Ν Ε Ι Α Σ Ε Κ Κ
Λ Η Σ Ι Α Κ Υ Ρ Ι Α Τ Ω Ν Π Ρ Ο Ε Δ Ρ Ω Ν Ε Π Ε Ψ Η Φ
Ι Ζ Ε Ν Ε Π Ι Χ Α Ρ Η Σ Α Γ Ν Ο Υ Σ Ι Ο Σ Ε Δ Ο Ξ Ε Ν
Τ Ω Ι Δ Η Μ Ω Ι Φ Α Ν Ο Δ Η Μ Ο Σ Δ Ι Υ Λ Λ Ο Υ Θ Υ Μ

[1]. Περὶ τῆς συστολῆς τοῦ ω εἰς ο πρβ. καὶ τὰ ὑπὸ τοῦ καθηγ. Θ. Παπαδημητρακοπούλου γεγραμμένα ἐν «Βασάνῳ τῶν περὶ τῆς ἑλληνικῆς προφορᾶς Ἐρασμικῶν ἀποδείξεων» 1889 σελ. 399 ἑξ. καὶ ἐν «Nouveaux documents épigraphiques démontrant l' antiquité de la prononciation des Grecs modernes». Leiden 1890 (extrait de la Revue de la Société philhellénique «Ἑλλάς»), ὅπου καὶ πολλὰ παραδείγματα (*Εὐβαίορος* C. I. A. II 836 *παραγγελλέτοσαν* ΕΑ 1884 σελ. 137-138 (πρβ. Meisterhans σελ. 133 e), *Λεύκορος* Δελτ. Ἀρχ. 1889 σελ. 56, κλπ).

[1] Πρβ. Bull. de Corr. hellén. 4 p. 85, 3 p. 413 καὶ τὰ ἐν τῇ ἀρτιφανεῖ τοῦ Ἀριστοτέλους «*Ἀθηναίων πολιτείᾳ*» § 58.

ΑΙΤΑΔΗΣΕΙΠΕΝΑΓΑΘΗΙΤΥΧΗΙΤΟΥΔ
ΗΜΟΥΤΟΥΑΘΗΝΑΙΩΝΕΠΕΙΔΗΟΘΕ⁝ΟΣ
ΚΑΛΩΣΕΠΙΜΕΛΕΙΤΑΙΤΩΝΑΦΙΚΝΟΥΜ
ΕΝΩΝΑΘΗΝΑΙΩΝΚΑΙΤΩΝΑΛΛΩΝΕΙΣΤ
ΟΙΕΡΟΝΕΦΥΓΙΕΙΑΙΚΑΙΣΩΤΗΡΙΑΙΠ
ΑΝΤΩΝΤΩΝΕΝΤΗΙΧΩΡΑΙΣΤΕΦΑΝΩΣΑ
ΙΤΟΝΑΜΦΙΑΡΑΟΝΧΡΥΣΩΙΣΤΕΦΑΝΩΙ
ΑΠΟ:Χ:ΔΡΑΧΜΩΝΚΑΙΑΝΕΙΠΕΙΝΤΟΝ
ΚΗΡΥΚΑΤΟΥΔΗΜΟΥΟΤΙΣΤΕΦΑΝΟΙΟΔ
ΗΜΟΣΟΑΘΗΝΑΙΩΝΤΟΝΑΜΦΙΑΡΑΟΝΧΡ
ΥΣΩΙΣΤΕΦΑΝΩΙΑΠΟ:Χ:ΔΡΑΧΜΩΝΤΟ
ΔΕΑΡΓΥΡΙΟΝΤΟΕΙΣΤΟΝΣΤΕΦΑΝΟΝΔ
ΟΥΝΑΙΤΟΝΤΑΜΙΑΝΤΩΝΣΤΡΑΤΙΩΤΙΚ
ΩΝΚΑΙΠΑΡΑΔΟΥΝΑΙΤΟΝΣΤΕΦΑΝΟΝΠ
ΟΗΣΑΜΕΝΟΝΤΟΙΣΕΠΙΜΕΛΗΤΑΙΣΑΝΑ
ΘΕΙΝΑΙΕΙΣΤΟΙΕΡΟΝΤΟΥΣΔΕΕΠΙΜΕ
ΛΗΤΑΣΑΝΕΙΠΟΝΤΑΣΤΑΕΨΗΦΙΣΜΕΝΑ
ΤΩΙΔΗΜΩΙΕΝΤΩΙΙΕΡΩΙΑΝΑΘΕΙΝΑΙ
ΤΟΝΣΤΕΦΑΝΟΝΤΩΙΘΕΩΙΕΦΥΓΙΕΙΑΙ
ΚΑΙΣΩΤΗΡΙΑΙΤΟΥΔΗΜΟΥΤΟΥΑΘΗΝΑ
ΙΩΝΚΑΙΠΑΙΔΩΝΚΑΙΓΥΝΑΙΚΩΝΚΑΙΤ
ΩΝΕΝΤΗΙΧΩΡΑΙΠΑΝΤΩΝΑΝΑΓΡΑΨΑΙ
ΔΕΤΟΔΕΤΟΨΗΦΙΣΜΑΕΝΣΤΗΛΗΙΛΙΘΙ
ΝΕΙΚΑΙΣΤΗΣΑΙΕΝΤΩΙΙΕΡΩΙΤΟΝΚΑ
ΤΑΠΡΥΤΑΝΕΙΑΝΓΡΑΜΜΑΤΕΑΕΙΣΔΕΤ
ΝΑΝΑΓΡΑΦΗΝΤΗΣΣΤΗΛΗΣΔΟΥΝΑΙΤΟ
ΝΤΑΜΙΑΝΤΟΥΔΗΜΟΥ:ΔΔ:ΔΡΑΧΜΑ̣ΣΕ
ΚΤΩΝΚΑΤΑΨΗΦΙˎΝ^ΤΑΑΝΑΛΙΣΚΟΜΕ
ΝΩΝΤΩΙΔΗΜΩΙ

Θεοί.
Ἐπὶ Νικήτου ἄρχοντος, ἐπὶ τῆς Ἐρε-
χθηΐδος ἐνάτης πρυτανείας, ἧι Ἀρι-
στόνους Ἀριστόνου Ἀναγυράσιος
ἐγραμμάτευεν, ἑνδεκάτηι, τρίτηι
καὶ εἰκοστῆι τῆς πρυτανείας· ἐκκ-
λησία κυρία· τῶν προέδρων ἐπεψήφ-
ιζεν Ἐπιχάρης Ἁγνούσιος. Ἔδοξεν
τῶι δήμωι, Φανόδημος Διύλλου Θυμ-
αιτάδης εἶπεν· ἀγαθῆι τύχηι τοῦ δ-
ήμου τοῦ Ἀθηναίων, ἐπειδὴ ὁ θεὸς
καλῶς ἐπιμελεῖται τῶν ἀφικνουμ-
ένων Ἀθηναίων καὶ τῶν ἄλλων εἰς τ-
ὸ ἱερὸν ἐφ' ὑγιείαι καὶ σωτηρίαι π-
άντων τῶν ἐν τῆι χώραι στεφανῶσα-
ι τὸν Ἀμφιάραον χρυσῶι στεφάνωι
ἀπὸ : Χ : δραχμῶν καὶ ἀνειπεῖν τὸν
κήρυκα τοῦ δήμου ὅτι στεφανοῖ ὁ δ-
ῆμος ὁ Ἀθηναίων τὸν Ἀμφιάραον χρ-
υσῶι στεφάνωι ἀπὸ : Χ : δραχμῶν, τὸ
δὲ ἀργύριον τὸ εἰς τὸν στέφανον δ-
οῦναι τὸν ταμίαν τῶν στρατιωτικ-
ῶν καὶ παραδοῦναι τὸν στέφανον π-
οησάμενον τοῖς ἐπιμεληταῖς ἀνα-
θεῖναι εἰς τὸ ἱερόν, τοὺς δὲ ἐπιμε-
λητὰς ἀνειπόντας τὰ ἐψηφισμένα
τῶι δήμωι ἐν τῶι ἱερῶι ἀναθεῖναι
τὸν στέφανον τῶι θεῶι ἐφ' ὑγιείαι
καὶ σωτηρίαι τοῦ δήμου τοῦ Ἀθηνα-
ίων καὶ παίδων καὶ γυναικῶν καὶ τ-
ῶν ἐν τῆι χώραι πάντων, ἀναγράψαι
δὲ τόδε τὸ ψήφισμα ἐν στήληι λιθί-

νει καὶ στῆσαι ἐν τῶι ἱερῶι τὸν κα-
τὰ πρυτανείαν γραμματέα, εἰς δὲ τ-
(ὴ)ν ἀναγραφὴν τῆς στήλης δοῦναι τό-
ν ταμίαν τοῦ δήμου : ΔΔ : δραχμὰς ἐ-
κ τῶν κατὰ ψηφίσμ[α]τα ἀναλισκομέ-
νων τῶι δήμωι.

Στήλη πεντελησίου λίθου, ἀπολήγουσα ἄνω εἰς τρίγωνον, ἐν ᾧ ἀναγεγλυμμένον ἀέτωμα. Ὕψ. 0,85, πλ. 0,30-0,32, πάχ. 0,07 περίπου. Ὕψ. γρμ. 0,005. Εὑρέθη ὑπτία ἐπὶ τοῦ αὐτοῦ καὶ ἡ ὑπ' ἀρ. 34 ὀχετοῦ.

Τὸ γράμμα *ν* πολλαχοῦ φαίνεται ὡς ἰσοσκελές.

Ἐν τῇ δοτικῇ τοῦ θηλυκοῦ παρατηροῦνται ἀμφότεραι αἱ γραφαὶ *ηι* καὶ *ει*. Ὁμοίως καὶ ἐν ἀρ. 37.

Στίχ. 3. Πρυτανέας[1]· ἐν στίχ. 6 *πρυτανείας* καὶ στίχ. 34 *πρυτανείαν*.

Στίχ. 5. Παρελείφθη ὁ μὴν Θαργηλιὼν (πρβ. ἑξῆς ἀρ. 37, ἄλλως δὲ ἀρ. 38).

Στίχ. 11. *Θειός*. Πρβ. *καταβάσειως* (ἀριθ. 34), *δειόμενον* (ΕΑ. 1885 σελ. 96)· Meisterhans σελ. 36.

Στίχ. 34-35. Παρελείφθη τὸ *η* τοῦ *τὴν*.

Στίχ. 36. Τὸ πρῶτον Δ τοῦ ΔΔ φέρει ἴχνη ἐρυθροῦ χρώματος (μίλτου).

Τὸ ἔτος τοῦ Νικήτου ἄρχοντος ἀντιστοιχεῖ τῷ 332/1 π. Χ. Κατὰ τὸν αὐτὸν χρόνον ἐγράφη καὶ ἡ ἑξῆς (ἀριθ. 37), ἐν ᾗ ὁ Φανόδημος στεφανοῦται· ἐν τῇ κατόπιν δὲ (ἀρ. 38) ὁ αὐτὸς στεφανοῦται μετ' ἄλλων. Ἄρχοντας τῶν ἐτῶν 333 καὶ 329 π. Χ. ὅρα ἐν ἀριθ. 28 (ΕΑ. 1889 σελ. 14) καὶ κατωτ. ἀριθ. 38. Κατὰ τοὺς χρόνους τούτους (ἀπὸ τοῦ 338 π. Χ.) ὁ Ὠρωπὸς ἦν, ὡς γνωστόν, ὑπὸ τοὺς Ἀθηναίους.

37

ΘΕΟΙ
ΕΠΙΝΙΚΗΤΟΥΑΡΧΟΝΤΟΣΕΠΙΤΗΣΕΡΕΧΟΗ
ΙΔΟΣΕΝΑΤΗΣΠΡΥΤΑΝΕΙΑΣΗΙΛΡΙΣΤΟΝΟ
ΥΣΑΡΙΣΤΟΝΟΥΑΝΑΓΥΡΑΣΙΟΣΕΓΡΑΜΜΑΤ
ΕΥΕΝΟΑΡΓΗΛΙΩΝΟΣΕΝΔΕΚΑΤΕΙΤΡΙΤΗΙ
ΚΑΙΕΙΚΟΣΤΗΙΤΗΣΠΡΥΤΑΝΕΙΑΣΕΚΚΛΗΣ
ΙΑΚΥΡΙΑΤΩΝΠΡΟΕΔΡΩΝΕΠΕΨΗΦΙΖΕΝΕΠ
ΙΧΑΡΗΣΑΓΝΟΥΣΙΟΣΕΔΟΞΕΝΤΩΙΔΗΜΩΙ :
ΔΗΜΗΤΡΙΟΣΕΥΚΤΗΜΟΝΟΣΑΦΙΔΝΑΙΟΣΕΙ
ΠΕΝΕΠΕΙΔΗΦΑΝΟΔΗΜΟΣΟΥΜΑΙΤΑΔΗΣΚΑ
ΛΩΣΚΑΙΦΙΛΟΤΙΜΩΣΝΕΝΟΜΟΟΕΤΗΚΕΝΠΕ
ΡΙΤΟΙΕΡΟΝΤΟΥΑΜΦΙΑΡΑΟΥΟΠΩΣΑΝΗΤΕ
ΠΕΝΤΕΤΗΡΙΣΩΣΚΑΛΛΙΣΤΗΓΙΓΝΗΤΑΙΚΑ
ΙΑΙΑΛΛΑΙΘΥΣΙΑΙΤΟΙΣΘΕΟΙΣΤΟΙΣΕΝΤ
ΩΙΙΕΡΩΙΤΟΥΑΜΦΙΑΡΑΟΥΚΑΙΠΟΡΟΥΣΠΕ
ΠΟΡΙΚΕΝΕΙΣΤΑΥΤΑΚΑΙΕΙΣΤΗΝΚΑΤΑΣΚ
ΕΥΗΝΤΟΥΙΕΡΟΥΔΕΔΟΧΟΑΙΤΗΙΒΟΥΛΗΙΤ
ΟΥΣΠΡΟΕΔΡΟΥΣΟΙΑΝΛΑΧΩΣΙΝΠΡΟΕΔΡΕ
ΥΕΙΝΕΙΣΤΗΝΠΡΩΤΗΝΕΚΚΛΗΣΙΑΝΠΡΟΣΑ
ΓΑΓΕΙΝΦΑΝΟΔΗΜΟΝΠΡΟΣΤΟΝΔΗΜΟΝΚΑΙ
ΧΡΗΜΑΤΙΣΑΙΓΝΩΜΗΝΔΕΞΥΜΒΑΛΛΕΣΟΑΙ
ΤΗΣΒΟΥΛΗΣΕΙΣΤΟΝΔΗΜΟΝΟΤΙΔΟΚΕΙΤΗ
ΙΒΟΥΛΗΙΕΠΑΙΝΕΣΑΙΦΑΝΟΔΗΜΟΝΔΙΥΛΛ
ΟΥΟΥΜΑΙΤΑΔΗΝΦΙΛΟΤΙΜΙΑΣΕΝΕΚΑΤΗΣ
ΠΡΟΣΤΟΝΟΕΟΝΚΑΙΤΟΙΕΡΟΝΤΟΥΑΜΦΙΑΡ

[1] C. I. A. II 829 στίχ. 8, καὶ 62 στίχ. 5, Meisterhans σ.32, «Βάσανος» (ἀνωτ.) σ. 199 καὶ 715 ἑξ.

Α Ο Υ Κ Α Ι Σ Τ Ε Φ Α Ν Ω Σ Α Ι Χ Ρ Υ Σ Ω Ι Σ Τ Ε Φ Α Ν Ω Ι
Α Π Ο : Χ : Δ Ρ Α Χ Μ Ω Ν Α Ν Α Γ Ρ Α Ψ Α Ι Δ Ε Τ Ο Δ Ε Τ Ο
Ψ Η Φ Ι Σ Μ Α Ε Ν Σ Τ Η Λ Η Ι Λ Ι Ο Ι Ν Ε Ι Τ Ο Γ Γ Ρ Α Μ Μ
Α Τ Ε Α Τ Ο Ν Κ Α Τ Α Π Ρ Υ Τ Α Ν Ε Ι Α Ν Κ Α Ι Σ Τ Η Σ Α Ι
Ε Ν Τ Ω Ι Ι Ε Ρ Ω Ι Τ Ο Υ Α Μ Φ Ι Α Ρ Α Ο Υ Ε Ι Σ Δ Ε Τ Η Ν
Α Ν Α Γ Ρ Α Φ Η Ν Τ Η Σ Σ Τ Η Λ Η Σ Δ Ο Υ Ν Α Ι Τ Ο Ν Τ Α Μ
Ι Α Ν Τ Ο Υ Δ Η Μ Ο Υ : Δ Δ : Δ Ρ Α Χ Μ Α Σ Ε Κ Τ Ω Ν Κ Α Τ
Α Ψ Η Φ Ι Σ Μ Α Τ Α Α Ν Α Λ Ι Σ Κ Ο Μ Ε Ν Ω Ν Τ Ω Ι Δ Η Μ Ω Ι

Θεοί.
Ἐπὶ Νικήτου ἄρχοντος, ἐπὶ τῆς Ἐρεχθη-
ίδος ἐνάτης πρυτανείας, ἧι Ἀριστόνο-
υς Ἀριστόνου Ἀναγυράσιος ἐγραμμάτ-
ευεν, Θαργηλιῶνος ἑνδεκάτει, τρίτηι
καὶ εἰκοστῆι τῆς πρυτανείας, ἐκκλησ-
ία κυρία· τῶν προέδρων ἐπεψήφιζεν Ἐπ-
ιχάρης Ἁγνούσιος. Ἔδοξεν τῶι δήμωι :
Δημήτριος Εὐκτήμονος Ἀφιδναῖος εἶ-
πεν· ἐπειδὴ Φανόδημος Θυμαιτάδης κα-
λῶς καὶ φιλοτίμως νενομοθέτηκεν πε-
ρὶ τὸ ἱερὸν τοῦ Ἀμφιαράου, ὅπως ἂν ἥ τε
πεντετηρὶς ὡς καλλίστη γίγνηται κα-
ὶ αἱ ἄλλαι θυσίαι τοῖς θεοῖς τοῖς ἐν τ-
ῶι ἱερῶι τοῦ Ἀμφιαράου, καὶ πόρους πε-
πόρικεν εἰς ταῦτα καὶ εἰς τὴν κατασκ-
ευὴν τοῦ ἱεροῦ, δεδόχθαι τῆι βουλῆι τ-
οὺς προέδρους οἳ ἂν λάχωσιν προεδρε-
ύειν εἰς τὴν πρώτην ἐκκλησίαν προσα-
γαγεῖν Φανόδημον πρὸς τὸν δῆμον καὶ
χρηματίσαι, γνώμην δὲ ξυμβάλλεσθαι
τῆς βουλῆς εἰς τὸν δῆμον ὅτι δοκεῖ τῆ-
ι βουλῆι ἐπαινέσαι Φανόδημον Διύλλ-
ου Θυμαιτάδην φιλοτιμίας ἕνεκα τῆς
πρὸς τὸν θεὸν καὶ τὸ ἱερὸν τοῦ Ἀμφιαρ-
άου καὶ στεφανῶσαι χρυσῶι στεφάνωι
ἀπὸ : Χ : δραχμῶν, ἀναγράψαι δὲ τόδε τὸ
ψήφισμα ἐν στήληι λιθίνει τὸγ γραμμ-
ατέα τὸν κατὰ πρυτανείαν καὶ στῆσαι
ἐν τῶι ἱερῶι τοῦ Ἀμφιαράου, εἰς δὲ τὴν
ἀναγραφὴν τῆς στήλης δοῦναι τὸν ταμ-
ίαν τοῦ δήμου : ΔΔ : δραχμὰς ἐκ τῶν κατ-
ὰ ψηφίσματα ἀναλισκομένων τῶι δήμωι.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0,77, πλ. 0,32, πάχ. 0,06. Ὕψ. γρμ. 0,004-0,005. Εὑρέθη πρανὴς παρὰ τῇ ἀνωτέρῳ (ἀρ. 34) ἐπὶ τοῦ αὐτοῦ ὀχετοῦ.

Ἕκαστος στίχος ἔχει 30 γράμματα πλὴν τοῦ τελευταίου ἔχοντος 31, συσφιγχθέντων τῶν δύο τελευταίων (ωι) ἐν χώρῳ ἑνὸς γράμματος· τοῦτο δὲ ἵνα μὴ μείνῃ, φαίνεται, μόνον τὸ ι ἐν ἰδίῳ (34ᵠ) στίχῳ.

Τοῦ γράμματος *θ* δὲν διακρίνεται πανταχοῦ ἡ κεντρικὴ στιγμή.

Στίχ. 8. Ἐν τέλει μετὰ τὸ *δήμωι* φαίνονται ὡσεὶ ἴχνη ἄνω καὶ κάτω τελείας στιγμῆς.

Περὶ Νικήτου ἄρχοντος πρβ. ἀρ. 36. Καὶ ὁ γραμματεὺς εἶνε γνωστὸς ἐκ τοῦ C. I. A.

Περὶ Φανοδήμου πρβ. ἀρ. 36 καὶ 38.

38

Θ Ε Ο Ι
Ε Π Ι Κ Η Φ Ι Σ Ο Φ Ω Ν Τ Ο Σ Α Ρ Χ Ο Ν Τ Ο Σ Ε Π Ι Τ
Η Σ Ι Π Π Ο Θ Ω Ν Τ Ι Δ Ο Σ Τ Ρ Ι Τ Η Σ Π Ρ Υ Τ Α Ν Ε
Ι Α Σ Η Ι Σ Ω Σ Τ Ρ Α Τ Ι Δ Η Σ Ε Χ Φ Α Ν Τ Ο Υ Ε Υ Π
Υ Ρ Ι Δ Η Σ Ε Γ Ρ Α Μ Μ Α Τ Ε Υ Ε Ν
Ε Κ Τ Ε Ι Ε Π Ι Δ Ε Κ Α Τ Ρ Ι Τ Ε Ι Κ Α Ι Τ Ρ Ι Α Κ Ο
Σ Τ Ε Ι Τ Η Σ Π Ρ Υ Τ Α Ν Ε Ι Α Σ Ε Κ Κ Λ Η Σ Ι Α Τ Ω

ΜΠΡΟΕΔΡΩΝΕΠΕΨΗΦΙΖΕΝΔΗΜΟΧΑΡ
ΗΣΦΛΥΕΥΣΕΔΟΞΕΝΤΩΙΔΗΜΩΙΔΗΜΟΣ
ΟΕΝΗΣΔΗΜΟΚΛΕΟΥΣΛΑΜΠΤΡΕΥΣΕΙΠ
ΕΝΕΠΕΙΔΗΟΙΧΕΙΡΟΤΟΝΗΘΕΝΤΕΣΥΠ
ΟΤΟΥΔΗΜΟΥΕΠΙΤΗΝΕΠΙΜΕΛΕΙΑΝΤΟ
ΥΑΓΩΝΟΣΚΑΙΤΩΝΑΛΛΩΝΤΩΝΠΕΡΙΤΗ
ΝΕΟΡΤΗΝΤΟΥΑΜΦΙΑΡΑΟΥΚΑΛΩΣΚΑΙ
ΦΙΛΟΤΙΜΩΣΕΠΕΜΕΛΗΘΗΣΑΝΤΗΣΤΕΠ
ΟΜΠΗΣΤΩΙΑΜΦΙΑΡΑΩΙΚΑΙΤΟΥΑΓΩΝ
ΟΣΤΟΥΓΥΜΝΙΚΟΥΚΑΙΙΠΠΙΚΟΥΚΑΙΤ
ΗΣΑΠΟΒΑΣΕΩΣΚΑΙΤΩΝΑΛΛΩΝΠΑΝΤΩ
ΝΤΩΝΠΕΡΙΤΗΝΠΑΝΗΓΥΡΙΝΩΝΑΥΤΟΙ
ΣΠΡΟΣΕΤΑΞΕΝΟΔΗΜΟΣΔΕΔΟΧΘΑΙΤΩ
ΙΔΗΜΩΙΕΠΑΙΝΕΣΑΙΤΟΥΣΑΙΡΕΟΕΝΤ
ΑΣΦΑΝΟΔΗΜΟΝΔΙΥΛΛΟΥΘΥΜΑΙΤΑΔΗ
ΝΛΥΚΟΥΡΓΟΝΛΥΚΟΦΡΟΝΟΣΒΟΥΤΑΔΗ
Ν:ΔΗΜΑΔΗΝΔΗΜΕΟΥΠΑΙΑΝΙΕΑ:ΣΩΦΙΛ
ΟΝΑΡΙΣΤΟΤΕΛΟΥΣΦΥΛΑΣΙΟΝ:ΘΡΑΣΥ
ΛΕΟΝΤΑΘΕΟΦΩΝΤΟΣΑΧΑΡΝΕΑ:ΕΠΙΤΕ
ΛΗΝΣΩΙΝΟΜΟΥΠΕΡΓΑΣΗΘΕΝ:ΝΙΚΗΡΑ
ΤΟΝΝΙΚΙΟΥΚΥΔΑΝΤΙΔΗΝ:ΕΠΙΧΑΡΗΝ
ΑΓΩΝΟΧΑΡΟΥΣΠΑΙΑΝΙΕΑ:ΘΥΜΟΧΑΡΗ
ΝΦΑΙΔΡΟΥΣΦΗΤΤΙΟΝ:ΚΗΦΙΣΟΦΩΝΤΑ
ΛΥΣΙΦΩΝΤΟΣΧΟΛΑΡΓΕ:ΔΙΚΑΙΟΣΥΝΗ
ΣΕΝΕΚΑΚΑΙΦΙΛΟΤΙΜΙΑΣΤΗΣΠΡΟΣΤ
ΟΝΘΕΟΝΚΑΙΤΟΝΔΗΜΟΝΤΩΝΑΘΗΝΑΙΩ
ΝΚΑΙΣΤΕΦΑΝΩΣΑΙΑΥΤΟΥΣΧΡΥΣΩΙΣ
ΤΕΦΑΝΩΙΑΠΟ:Χ:ΔΡΑΧΜΩΝΔΟΥΝΑΙΔΕΑ
ΥΤΟΙΣΚΑΙΕΙΣΘΥΣΙΑΝΚΑΙΑΝΑΘΗΜΑ
Η:ΔΡΑΧΜΑΣΤΟΔΕΑΡΓΥΡΙΟΝΤ ΕΙΣΤΗ
ΝΘΥΣΙΑΝΠΡΟΔΑΝΕΙΣΑΙΤΟΝΤΑΜΙΑΝ
ΤΟΥΔΗΜΟΥΕΝΔΕΤΟΙΣΠΡΩΤΟΙΣΝΟΜΟ
ΘΕΤΑΙΣΠΡΟΣΝΟΜΟΘΕΤΗΣΑΙΤΩΙΤΑΜ
ΑΙΔΟΥΝΑΙΔΕΚΑΙΤΑΣΤΡΙΑΚΟΝΤΑΔ
ΑΧΜΑΣΤΟΝΤΑΜΙΑΝΤΟΥΔΗΜΟΥΤΟΙΣ
ΙΡΕΘΕΙΣΙΝΕΠΙΤΟΝΑΓΩΝΑΑΣΕΙΡΗ
ΤΑΙΔΙΔΟΝΑΙΕΝΤΩΙΝΟΜΩΙΤΩΙΑΙΡΕ
ΘΕΝΤΙΕΠΙΤΗΝΕΥΤΑΞΙΑΝΑΝΑΓΡΑΨΑ
ΙΔΕΤΟΔΕΤΟΨΗΦΙΣΜΑΤΟΓΓΡΑΜΜΑΤΕ
ΑΤΗΣΒΟΥΛΗΣΚΑΙΣΤΗΣΑΙΕΝΤΩΙΙΕΡ
ΩΙΤΟΥΑΜΦΙΑΡΑΟΥΕΙΣΔΕΤΗΝΑΝΑΓΡ
ΑΦΗΝΤΗΣΣΤΗΛΗΣΔΟΥΝΑΙΤΟΝΤΑΜΙΑ
ΝΤΟΥΔΗΜΟΥ:ΔΔ:ΔΡΑΧΜΑΣΕΚΤΩΝΚΑΤ
ΑΨΗΦΙΣΜΑΤΑΜΕΡΙΖΟΜΕΝΩΝΤΩΙΔΗΜ
ΩΙ

Θεοί.
Ἐπὶ Κηφισοφῶντος ἄρχοντος, ἐπὶ τ-
ῆς Ἱπποθωντίδος τρίτης πρυτανε-
ίας, ἧι Σωστρατίδης Ἐχφάντου Εὐπ-
υρίδης ἐγραμμάτευεν·
ἕκτει ἐπὶ δέκα, τρίτει καὶ τριακο-
στεῖ τῆς πρυτανείας, ἐκκλησία· τῶ-
μ προέδρων ἐπεψήφισζεν Δημοχάρ-
ης Φλυεύς. Ἔδοξεν τῶι δήμωι, Δημοσ-
θένης Δημοκλέους Λαμπτρεὺς εἶπ-
εν· ἐπειδὴ οἱ χειροτονηθέντες ὑπ-
ὸ τοῦ δήμου ἐπὶ τὴν ἐπιμέλειαν το-
ῦ ἀγῶνος καὶ τῶν ἄλλων τῶν περὶ τὴ-
ν ἑορτὴν τοῦ Ἀμφιαράου καλῶς καὶ
φιλοτίμως ἐπεμελήθησαν τῆς τε π-
ομπῆς τῶι Ἀμφιαράωι καὶ τοῦ ἀγῶν-
ος τοῦ γυμνικοῦ καὶ ἱππικοῦ καὶ τ-
ῆς ἀποβάσεως καὶ τῶν ἄλλων πάντω-
ν τῶν περὶ τὴν πανήγυριν, ὧν αὐτοῖ-
ς προσέταξεν ὁ δῆμος, δεδόχθαι τῶ-
ι δήμωι ἐπαινέσαι τοὺς αἱρεθέντ-
ας Φανόδημον Διύλλου Θυμαιτάδη-
ν[:] Λυκοῦργον Λυκόφρονος Βουτάδη-
ν : Δημάδην Δημέου Παιανιέα : Σώφιλ-
ον Ἀριστοτέλους Φυλάσιον : Θρασυ-
λέοντα Θεοφῶντος Ἀχαρνέα : Ἐπιτέ-
λην *Σωινόμου* [1] Περγασῆθεν : Νικήρα-
τον Νικίου Κυδαντίδην : Ἐπιχάρην
Ἀγωνοχάρους Παιανιέα : Θυμοχάρη-
ν Φαίδρου Σφήττιον : Κηφισοφῶντα
Λυσιφῶντος Χολαργέ : δικαιοσύνη-
ς ἕνεκα καὶ φιλοτιμίας τῆς πρὸς τ-
ὸν θεὸν καὶ τὸν δῆμον τὸν Ἀθηναίω-
ν, καὶ στεφανῶσαι αὐτοὺς χρυσῶι σ-
τεφάνωι ἀπὸ : Χ : δραχμῶν, δοῦναι δὲ α-
ὐτοῖς καὶ εἰς θυσίαν καὶ ἀνάθημα
Η : δραχμάς, τὸ δὲ ἀργύριον τ[ὸ] εἰς τὴ-
ν θυσίαν προδανεῖσαι τὸν ταμίαν
τοῦ δήμου, ἐν δὲ τοῖς πρώτοις νομο-
θέταις προσνομοθετῆσαι τῶι ταμ-
ί]αι, δοῦναι δὲ καὶ τὰς τριάκοντα δ-
ρ]αχμὰς τὸν ταμίαν τοῦ δήμου τοῖς
α]ἱρεθεῖσιν ἐπὶ τὸν ἀγῶνα, ἃς εἴρη-
ται διδόναι ἐν τῷ νόμωι τῶι αἱρε-
θέντι ἐπὶ τὴν εὐταξίαν· ἀναγράψα-
ι δὲ τόδε τὸ ψήφισμα τὸγ γραμματέ-
α τῆς βουλῆς, καὶ στῆσαι ἐν τῶι ἱερ-
ῶι τοῦ Ἀμφιαράου, εἰς δὲ τὴν ἀναγρ-
αφὴν τῆς στήλης δοῦναι τὸν ταμία-
ν τοῦ δήμου : ΔΔΔ : δραχμὰς ἐκ τῶν κατ-
ὰ ψηφίσματα μεριζομένων τῶι δήμ-
ωι.

[1] Ἡ διὰ κεκλιμένων στοιχείων τύπωσις κυρίων ὀνομάτων ἐν τῇ μεταγραφῇ δηλοῖ ὅτι ταῦτα δὲν ἀπαντῶσιν ἐν τῷ λεξικῷ τοῦ Pape.

Στήλη μετ᾽ ἀετώματος, λευκοῦ μαρμάρου· δίχα τεθραυσμένη ὑπὸ τὸν $21^{ον}$ καὶ ἐπὶ τοῦ $22^{ου}$ στίχου. Ὅλον ὕψ. 0,895, πλ. 0,36, πάχ. 0,07.

Εὑρέθη πρανὴς παρὰ τῇ ἀνωτέρω (ἀρ. 37).

Ὁ πρῶτος στίχος γέγλυπται ἐπὶ τοῦ γείσου. Τὰ γράμματα (ὕψ. 0,005-0,006) μικρόν τι διάφορα τῶν τῆς προηγουμένης (πρβ. φ, ὅπερ ἄλλως ἐνιαχοῦ ἐν τῇ προκειμένῃ δὲν εἶνε εὐδιάκριτον, καὶ ξ). Τοῦ μ ἡ μέση γωνία φθάνει μέχρι τοῦ κάτω μέρους.

Ἡ δοτικὴ τοῦ θηλυκοῦ γέγραπται διὰ τῆς ει, ἀλλὰ ἧι (στίχ. 4).

Στίχ. 4 *Ἐχφάντου*. Περὶ τῆς τροπῆς τοῦ κ εἰς χ πρβ. «Βάσανον» (ἀνωτ.) σελ. 653, ἔνθα ἑρμηνεύεται ὁ λόγος τῆς τοιαύτης τροπῆς ὡς συμφωνῶν πρὸς τὴν νῦν παρ᾽ ἡμῖν προφορὰν τῶν δασέων. Καὶ ἐν Meisterhans σελ. 82 ἄλλα παραδείγματα. Τὸν ἐνταῦθα γραμματέα συμπληρωτέον καὶ ἐν C. I. A. II 178.

Στίχ. 5. Μετὰ τὸ *ἐγραμμάτευεν* δὲν διακρίνονται γράμματα. Μὴν ἀντιστοιχῶν καὶ συμπληρωτέος ἐνταῦθα εἶνε ὁ Πυανοψιών.

Στίχ. 8. *Ἐπεψήφισζεν*. Τὸ σζ εὕρηται καὶ ἐν τοῖς *καρπίσζεσθαι* (ΕΑ. 1884 σελ. $100^{α}$ στίχ. 2 = 28, ἀλλὰ καὶ πολλάκις αὐτόθι τὸ αὐτὸ ῥῆμα διὰ μόνου τοῦ ζ), *μασζονόμον* (ΕΑ. 1889 σελ. 7-10). Meisterhans σελ. 70.

Στίχ. 23. Περὶ τελειῶν (:) πρὸ τοῦ *Λυκοῦργον* δὲν εἶμαι βέβαιος.

Στίχ. 27. *Σωινόμου* (μετὰ τοῦ ι), ἀλλὰ στίχ. 24-25 *Σώφιλον*. Ἐκ τούτου συμπληρωτέον καὶ ἐν C. I. A. II 181 (Meisterhans σ. 52) *Σ[ω]ιν[όμου]*, οὐχὶ *Σ[ω]ιν[αύτου]*.

Κηφισοφῶν ἄρχων ἐγένετο τῷ 329/8 π. Χ.

Ὁ Φανόδημος εἶπε τὸ ἀνωτ. (ἀρ. 36) ψήφισμα, στεφανοῦται δὲ ἐν ἀριθ. 37.

Οἱ δέκα ἐνταῦθα τιμώμενοι ἄνδρες εἰσὶ σχεδὸν πάντες ἐπιφανεῖς καὶ γνωστοί, ἀντιπρόσωποι, ὡς

φαίνεται, τῶν 10 φυλῶν, καίτοι πολλοὶ ἐκ τῆς αὐτῆς εἰσι φυλῆς.

Οἱ ἱππικοὶ κλπ. ἀγῶνες ἐν Ἀμφιαρείῳ ἐτελοῦντο πιθανῶς κατὰ τὰ ΒΔ. ὄπισθεν τοῦ Ἱεροῦ, ἐπὶ τῆς εἰς Σκάλαν ὁδοῦ, ἐν θέσει τανῦν καλουμένῃ «αὐλοτόπι».

39

Θ Ε Ο Ι Τ Υ Χ Η Ι \ Γ Α Θ Η Ι Ε Π Ι Χ Α Ρ Ο Π Ι Δ Ο Υ Ι Ε
Ρ Ε Ω Σ Τ Ο Υ Α Μ Φ Ι Α Ρ Α Ο Υ Π Ο Λ Ε Μ Α Ρ Χ Ω Ν Α Μ Φ
Ι Δ Η Μ Ο Υ Α Μ Φ Ι Μ Η Δ Ο Υ Σ Χ Α Ι Ρ Ε Σ Τ Ρ Α Τ Ο Υ Ε
Υ Χ Α Ρ Ι Δ Ο Σ Ν Ι Κ Ο Ξ Ε Ν Ο Υ Σ Ι Μ Ι Ο Υ Α Μ Φ Ι Δ Η
Μ Ο Σ Α Μ Φ Ι Μ Η Δ Ο Υ Σ Ε Λ Ε Ξ Ε Ν Ε Δ Ο Ξ Ε Ν Τ Η Ι Β
Ο Υ Λ Η Ι Κ Α Ι Τ Η Ι Ε Κ Κ Λ Η Σ Ι Α Ι Ε Π Ε Ι Δ Η Α Ν Δ
Ρ Ε Σ Α Γ Α Θ Ο Ι Κ Α Ι Δ Ι Κ Α Ι Ο Ι Π Ε Ρ Ι Τ Η Μ Π Ο Λ
Ι Ν Τ Η Ν Ω Ρ Ω Π Ι Ω Ν Γ Ε Γ Ε Ν Η Ν Τ Α Ι Α Ι Σ Υ Μ Ν Ο
Σ Ο Ξ Υ Μ Ε Ν Ο Υ Σ Α Ν Τ Ι Π Α Τ Ρ Ο Σ Σ Ω Σ Ι Ο Σ Μ Α Κ
Ε Δ Ο Ν Ε Σ Π Ρ Ο Ξ Ε Ν Ο Υ Σ Κ Α Ι Ε Υ Ε Ρ Γ Ε Τ Α Σ Ε Ι
Ν Α Ι Α Υ Τ Ο Υ Σ Κ Α Ι Ε Κ Γ Ο Ν Ο Υ Σ Κ Α Ι Ε Ι Ν Α Ι Α
Υ Τ Ο Ι Σ Π Ο Λ Ι Τ Ε Ι Α Ν Α Τ Ε Λ Ε Ι Α Ν Π Α Ν Τ Ω Ν Γ
Η Σ Ο Ι Κ Ι Ω Ν Ε Γ Κ Τ Η Σ Ι Ν Α Σ Υ Λ Ι Α Ν Α Σ Φ Α Λ Ε
Ι Α Ν Κ Α Ι Π Ο Λ Ε Μ Ο Υ Κ Α Ι Ε Ι Ρ Η Ν Η Σ Κ Α Ι Κ Α Τ
Α Γ Η Ν Κ Α Ι Κ Α Τ Α Θ Α Λ Α Τ Τ Α Ν

Θεοί. Τύχηι [ἀ]γαθῆι· ἐπὶ *Χαροπίδου* ἱε-
ρέως τοῦ Ἀμφιαράου, πολεμάρχων Ἀμφ-
ιδήμου Ἀμφιμήδους, Χαιρεστράτου Ε-
ὐχάριδος, Νικοξένου Σιμίου, Ἀμφίδη-
μος Ἀμφιμήδους ἔλεξεν· ἔδοξεν τῆι β-
ουλῆι καὶ τῆι ἐκκλησίᾳ, ἐπειδὴ ἄνδ-
ρες ἀγαθοὶ καὶ δίκαιοι περὶ τὴμ πόλ-
ιν τὴν Ὠρωπίων γεγένηνται Αἴσυμνο-
ς *Ὀξυμένους*, Ἀντίπατρος Σώσιος, Μακ-
εδόνες, προξένους καὶ εὐεργέτας εἶ-
ναι αὐτοὺς καὶ ἐκγόνους, καὶ εἶναι α-
ὐτοῖς πολιτείαν, ἀτέλειαν πάντων, γ-
ῆς, οἰκιῶν ἔγκτησιν, ἀσυλίαν, ἀσφάλε-
ιαν, καὶ πολέμου καὶ εἰρήνης, καὶ κατ-
ὰ γῆν καὶ κατὰ θάλατταν.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου, τεθραυσμένη. Ταύτης εὑρέθησαν δύο τεμάχια, ἤγουν ὅλον κατὰ πλάτος τὸ ἄνω καὶ τὸ ἀριστερὸν μέρος τοῦ κάτω· καὶ τὸ μὲν ἄνω περιέχει τὴν προκειμένην ἐπιγραφήν, τὸ δὲ εἶνε ἀνεπίγραφον ὡς βεβαίως ἦτο καὶ τὸ ἐλλεῖπον δεξιὸν τοῦ κάτω. Ὕψος ὅλον 1,10, πλ. 0,45, πάχ. 0,08. Ἐπὶ τοῦ ἀετώματος διακρίνονται ἴχνη ὡσεὶ χρώματος ἐρυθροῦ. Εὑρέθη πρανὴς ἔξωθεν τοῦ σῳζομένου μακροῦ τοίχου τοῦ Ναοῦ ὑπὸ ἄλλα ἐνεπίγραφα τεμάχια καὶ κοινοὺς λίθους, ἐπὶ τοῦ αὐτόθι παρήκοντος καὶ ὑπὸ τὸ βάθρον Σύλλα χωροῦντος ὑδραγωγείου Δ.

Ὕψ. γρμ. 0,007. Τὸ ο καὶ ω σχεδὸν ἰσοϋψῆ τοῖς ἄλλοις γράμμασι.

Κατὰ τὰ ἐν αὐτῇ ὀνόματα, τὴν ἀπαράλλακτον ταυτότητα τοῦ τύπου καὶ τὸ σχῆμα τῶν γραμμάτων ἡ παροῦσα ἐπιγραφὴ ἐγράφη κατὰ τὸν αὐτὸν καὶ ἡ ἑξῆς (ἀρ. 40) χρόνον. Καὶ οἱ πρόξενοι ἐν ἀμφοτέραις Μακεδόνες. Πρβ. καὶ ἀριθ. 50 καὶ 51, ὅπου καὶ «ἔδοξε τεῖ ἐκκλησίει».

Περὶ πολεμάρχων ἰδὲ καὶ ἀριθ. 35.

Ὡς πρὸς τὰς γενικὰς *Εὐχάριδος* καὶ *Σώσιος* πρβ. Meisterhans σελ. 101-102.

40

Θ Ε Ο Ι Τ Υ Χ Η Ι Α Γ Α Θ Η Ι Ε Π Ι Χ Α Ρ Ο Π Ι Δ Ο
Υ Ι Ε Ρ Ε Ω Σ Τ Ο Υ Α Μ Φ Ι Α Ρ Α Ο Υ Π Ο Λ Ε Μ Α Ρ

Χ Ω Ν Α Μ Φ Ι Δ Η Μ Ο Υ Λ Μ Φ Ι Μ Η Δ Ο Υ Σ Χ Α Ι Ρ
Ε Σ Τ Ρ Α Τ Ο Υ Ε Υ Χ Α Ρ Ι Λ Ο Σ Ν Ι Ⱶ Ο Ξ Ε Ν Ο Υ
Σ Ι Μ Ι Ο Υ Α Μ Φ Ι Δ Η Μ Ο Σ Α Μ Φ Ι Μ Η Δ Ο Υ Σ Ε
Λ Ε Ξ Ε Ν Ε Δ Ο Ξ Ε Ν Τ Η Ι Β Ο Υ Λ Η Ι Κ Α Ι Τ Η Ι
Ε Κ Κ Λ Η Σ Ι Α Ι Ε Π Ε Ι Δ Η Α Ν Η Ρ Α Γ Α Θ Ο Σ Κ
Α Ι Δ Ι Κ Α Ι Ο Σ Π Ε Ρ Ι Τ Η Μ Π Ο Λ Ι Ν Τ Η Ν Ω Ρ
Ω Π Ι Ω Ν Π Ε Γ Ε Ν Η Τ Α Ι Α Λ Κ Α Ν Ω Ρ Α Ρ Κ Ε Σ Ι
Λ Α Ο Υ Μ Α Κ Ε Δ Ω Ν Π Ρ Ο Ξ Ε Ν Ο Ν Κ Α Ι Ε Υ Ε Ρ
Γ Ε Τ Η Ν Ε Ι Ν Α Ι Α Υ Τ Ο Ν Κ Α Ι Ε Κ Γ Ο Ν Ο Υ Σ
Κ Α Ι Ε Ι Ν Α Ι Α Υ Τ Ω Ι Π Ο Λ Ι Τ Ε Ι Α Ν Α Τ Ε Λ
Ε Ι Α Ν Π Α Ν Τ Ω Ν Γ Η Σ Ο Ι Κ Ι Ω Ν Ε Γ Κ Τ Η Σ Ι
Ν Α Σ Υ Λ Ι Α Ν Α Σ Φ Α Λ Ε Ι Α Ν Κ Α Ι Π Ο Λ Ε Μ Ο
Υ Κ Λ Ι Ε Ι Ρ Η Ν Η Σ Κ Α Ι Κ Α Τ Α Γ Η Ν Κ Α Ι Κ Α
Τ Α Θ Α Λ Α Τ Τ Α Ν

Θεοί. Τύχηι ἀγαθῆ· ἐπὶ *Χαροπίδο-*
υ ἱερέως τοῦ Ἀμφιαράου, πολεμάρ-
χων Ἀμφιδήμου Ἀμφιμήδους, Χαιρ-
εστράτου Εὐχάριδος, Νικοξένου
Σιμίου, Ἀμφίδημος Ἀμφιμήδους ἔ-
λεξεν· ἔδοξεν τῆι βουλῆι καὶ τῆι
ἐκκλησίᾳ, ἐπειδὴ ἀνὴρ ἀγαθὸς κ-
αὶ δίκαιος περὶ τὴμ πόλιν τὴν Ὠρ-
ωπίων γεγένηται Ἀλκάνωρ Ἀρκεσι-
λάου Μακεδών, πρόξενον καὶ εὐερ-
γέτην εἶναι αὐτὸν καὶ ἐκγόνους,
καὶ εἶναι αὐτῶι πολιτείαν, ἀτέλ-
ειαν πάντων, γῆς, οἰκιῶν ἔγκτησι-
ν, ἀσυλίαν, ἀσφάλειαν, καὶ πολέμο-
υ καὶ εἰρήνης, καὶ κατὰ γῆν καὶ κα-
τὰ θάλατταν.

Στήλη μετ᾽ ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0,95, πλ. 0,41, πάχ. 0,08. Εὑρέθη ὑπτία πλησίον τῆς προηγουμένης ἐπὶ τοῦ αὐτοῦ ὑδραγωγείου, ἐν βάθει ἀντιστοιχοῦντι πρὸς 1 μέτρον σχεδὸν ὑπὸ τὴν εὐθυντηρίαν τοῦ Ναοῦ. Ἡ στοιχηδὸν τάξις ταράσσεται ἐν στίχῳ 9ῳ ἔχοντι ἓν πλέον τοῦ δέοντος γράμμα.

Στίχ. 3. Ἐν τῷ *α* τοῦ *Ἀμφιμήδους* δὲν διακρίνεται ἡ μέση γραμμή. Ὡσαύτως οὐδὲ ἐν στίχ. 15 ἐν τῷ πρώτῳ *α*.

Στίχ. 4. Δὲν διακρίνεται ἡ κάτω γραμμὴ τοῦ *δ* τοῦ *Εὐχάριδος* καὶ τὰ δύο σκέλη τοῦ *κ* ἐν τῷ *Νικοξένου*.

Στίχ. 9. Ἐν τῷ πρώτῳ *γ* τοῦ *γεγένηται* φαίνονται ὡσεὶ ἴχνη καὶ τρίτης γραμμῆς· ἴσως ἐκ παραδρομῆς εἶχε χαραχθῆ *π* πρότερον.

Ἡ ἐπιγραφὴ εἶνε σύγχρονος τῇ ἀνωτέρω (ἀρ. 39).

41

Ν Ι Κ Ο Ξ Ε Ν Ο Σ Κ Ρ Α Τ Ι Ν Ο Υ Ε Ι
Π Ε Ν Ε Π Ε Ι Δ Η Σ Ω Σ Τ Ρ Α Τ Ο Σ
Κ Α Λ Λ Ι Ο Υ Α Θ Η Ν Α Ι Ο Σ Ε Υ Ν Ο Υ Σ
Κ Α Ι Χ Ρ Η Σ Ι Μ Ο Σ Ω Ν Δ Ι Α Τ Ε Λ Ε Ι
Κ Ο Ι Ν Ε Ι Π Α Σ Ι Ν Ω Ρ Ω Π Ι Ο Ι Σ
Δ Ε Δ Ο Χ Θ Α Ι Τ Ω Ι Δ Η Μ Ω Ι Ε Ι Ν Α Ι
Α Υ Τ Ο Ν Π Ρ Ο Ξ Ε Ν Ο Ν Κ Α Ι Ε Υ Ε Ρ
Γ Ε Τ Η Ν Τ Η Σ Π Ο Λ Ε Ω Σ Ω Ρ Ω Π Ι Ω Ν
Κ Α Ι Α Υ Τ Ο Ν Κ Α Ι Ε Γ Γ Ο Ν Ο Υ Σ
Κ Α Ι Ε Ι Ν Α Ι Α Υ Τ Ο Ι Σ Γ Η Σ Κ Α Ι
Ο Ι Κ Ι Α Σ Ε Γ Κ Τ Η Σ Ι Ν Κ Α Ι Α Σ Φ Α
Λ Ε Ι Α Ν Κ Α Ι Α Σ Υ Λ Ι Α Ν Κ Α Ι Π Ο

Λ Ε Μ Ο Υ Ο Ν Τ Ο Σ Κ Α Ι Ε Ι Ρ Η Ν Η Σ
Κ Α Ι Κ Α Τ Α Γ Η Ν Κ Α Ι Κ Α Τ Α Θ Α
Λ Α Τ Τ Α Ν Κ Α Ι Ι Σ Ο Π Ο Λ Ι Τ Ε Ι Α Ν
Κ Λ Ι Τ Α Λ Λ Α Π Α Ν Τ Α Κ Α Θ Α Π Ε Ρ
Τ Ο Ι Σ Α Λ Λ Ο Ι Σ Π Ρ Ο Ξ Ε Ν Ο Ι Σ Κ Α Ι
Ε Υ Ε Ρ Γ Ε Τ Α Ι . //// Ν Α Γ Ρ Α Ψ Α Ι Δ Ε
Τ Η Ν Π Ρ Ο Ξ Ε . . Λ Ν Ε Ν Σ Τ Η . . Ι Λ Ι
Θ Ι Ν Ε Ι Κ Α Ι . . Η Σ Α Ι Ε Ν Τ Ω Ι
Ι Ε Ρ Ω Ι Τ Ο Υ . . Φ Ι Α Ρ Α Ο Υ

Νικόξενος Κρατίνου εἶ-
πεν· ἐπειδὴ Σώστρατος
Καλλίου Ἀθηναῖος εὔνους
καὶ χρήσιμος ὢν διατελεῖ
κοινεῖ πᾶσιν Ὠρωπίοις,
δεδόχθαι τῶι δήμωι εἶναι
αὐτὸν πρόξενον καὶ εὐερ-
γέτην τῆς πόλεως Ὠρωπίων,
καὶ αὐτὸν καὶ ἐγγόνους,
καὶ εἶναι αὐτοῖς γῆς καὶ
οἰκίας ἔγκτησιν, καὶ ἀσφά-
λειαν, καὶ ἀσυλίαν, καὶ πο-
λέμου ὄντος καὶ εἰρήνης,
καὶ κατὰ γῆν καὶ κατὰ θά-
λατταν, καὶ ἰσοπολιτείαν,
καὶ τἆλλα πάντα καθάπερ
τοῖς ἄλλοις προξένοις καὶ
εὐεργέται[ς· ἀ]ναγράψαι δὲ
τὴν προξε[νί]αν ἐν στ[ήλε]ι λι-
θίνει καὶ [στ]ῆσαι ἐν τῶι
ἱερῶι τοῦ [Ἀμ]φιαράου.

Στήλη λευκοῦ μαρμάρου, ἄνευ ἀετώματος, φέρουσα γείσωμα ἐξ ἄβακος καὶ κυματίου, ἐφ' οὗ ὑπῆρχε γραπτὸν κόσμημα (ῥάβδος ᾠῶν). Εἶνε τεθραυσμένη εἰς 4 τεμάχια (ὅσον σῴζεται), ἐλλείπει δὲ τὸ κάτω ἀριστερόν, ὅπερ ὅμως ἦν ἀνεπίγραφον. Ὅλον ὕψ. 0,83, πλ. 0,35, πάχ. 0,08. Ὕψ. γρμ. 0,008. Τῶν τεμαχίων τὰ μὲν εὑρέθησαν ἄνωθεν τῆς ὑπ' ἀρ. 39, ἐν δὲ κάτωθεν τῆς προηγουμένης (ἀρ. 40) ἐπὶ τοῦ ὑδραγωγείου Δ.

Ἐν τῇ ἐπιγραφῇ ταύτῃ φαίνεται ὡς ἐπιδιωκομένη ἡ κατὰ συλλαβὴν διαίρεσις τῶν λέξεων ἐν τέλει τῶν στίχων, ὅπου καὶ ἔνθα μὲν κενά, ἔνθα δὲ πύκνωσις καὶ ὀλιγωρία τῆς στοιχηδὸν τάξεως.

Ἄξιαι μνείας εἰσὶ λέξεις τινὲς καὶ φράσεις ἀσυνήθεις ἐν Ἀμφιαρείῳ (*ἰσοπολιτείαν*, *προξενίαν* [πρβ. ἀριθ. 49], *πᾶσιν Ὠρωπίοις* κλπ.). Ὡς πρὸς τὸ ὄνομα Κρατίνου εἰρήσθω καὶ «Παράμυθος Κρατίνου» ΕΑ. 1889 σελ. 23, ψηφ. 4 καὶ 5.

42

Κ Τ Η . Ι . . . . . Λ Ϡ Μ Ο Σ Τ Ο Υ Ε Ι . . Ν . Π Ε
Ι Δ Η Φ Ι Λ . . . Υ Ν Ο Υ Σ Ω Ν . . Α Τ Ε Λ Ε Ι Τ
Ξ Ι Π Ο . . . . . Ω Π . . . Κ Α Ι Χ Ρ Ε Ι Α Σ Π Α
Ρ Ε Χ Ο Μ Ε . Ο Σ . . . Λ Ε Γ Ω Ν Κ Α Ι Π Ρ Α Τ Τ
Ω Ν Τ / Σ . . . . Α Δ Ε Δ Ο Χ Θ Α Ι Τ Ω Ι
Δ Η . . . . Ι Λ Ω Ν Ο Σ Ε Φ Ε Σ Ι Ο Ν
Π Ρ Ο . . . . Α Ι Τ Η Σ Π Ο Λ Ε Ω Σ Ω Ρ Ω
Π Ι Ω Ν Κ Α Ι Α Υ Τ Ο Ν Κ Α Ι Ε Κ Γ Ο Ν Ο Υ Σ Κ Α
Ι Ε Ι Ν Α Ι Α Υ Τ Ο Ι Σ Γ Η Σ Κ Α Ι Ο Ι Κ Ι Α Σ Ε
Ν Κ Τ Η Σ Ι Ν Κ Α Ι Ι Σ Ο Τ Ε Λ Ε Ι Α Ν Κ Α Ι Α Σ
Υ Λ Ι Α Ν Κ Α Ι Π Ο Λ Ε Μ Ο Υ Κ Α Ι Ε Ι Ρ Η Ν Η Σ
Κ Α Ι Κ Α Τ Α Γ Η Ν Κ Α Ι Κ Α Τ Α Θ Α Λ Α Τ Τ Α Ν
Κ Α Ι Τ Α Α Λ Λ Α . Α Ν Τ Α Κ Α Θ Α Π Ε Ρ Τ Ο Ι Σ

Α Λ Λ Ο Ι Σ Π Ρ Ο Ξ Ε Ν Ο Ι Σ Κ Α Ι Ε Υ Ε Ρ Γ Ε Τ
Α Ι Σ Α Ν Α Γ Ρ Α Ψ Α Ι Δ Ε Τ Ο Ψ Η Φ Ι Σ Μ Α Ε Ν
Σ Τ Η Λ Ͱ Ι Λ Ι Θ Ι Ν Ͱ Ι Κ Α Ι Σ Τ Η Σ Α Ι Ε . Τ
Ω Ι Ι Ε Ρ Ω Ι Τ Ο Υ Α Μ Φ Ι Α Ρ Α Ο Υ Ο Υ Α Ν . Ο
Ͱ Ε Ι Ε Ν Κ Α Λ Λ Ι Σ Τ Ω Ι Ε Ι Ν Α Ι

Κτη[σίας Ἐφ;]αρμόστου εἶ[πε]ν· [ἐ]πε-
ιδὴ Φίλ[ων ε]ὔνους ὢν [δι]ατελεῖ τ-
εῖ πόλ[ει Ὠρ]ωπ[ίων] καὶ χρείας πα-
ρεχόμενος [καὶ] λέγων καὶ πράττ-
ων τὰ [συμφέροντ]α, δεδόχθαι τῶι
δήμωι [Φίλωνα Φ]ίλωνος Ἐφέσιον
πρό[ξενον εἶν]αι τῆς πόλεως Ὠρω-
πίων καὶ αὐτὸν καὶ ἐκγόνους, κα-
ὶ εἶναι αὐτοῖς γῆς καὶ οἰκίας ἔ-
νκτησιν καὶ ἰσοτέλειαν καὶ ἀσ-
υλίαν καὶ πολέμου καὶ εἰρήνης
καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν
καὶ τὰ ἄλλα [π]άντα καθάπερ τοῖς
ἄλλοις προξένοις καὶ εὐεργέτ-
αις, ἀναγράψαι δὲ τὸ ψήφισμα ἐν
στήλ[ε;]ι λιθίν[ε;]ι καὶ στῆσαι ἐ[ν] τ-
ῶι ἱερῶι τοῦ Ἀμφιαράου οὗ ἂν [δ]ο-
[κ]εῖ ἐν καλλίστωι εἶναι.

Στήλη λευκοῦ μαρμάρου, φέρουσα ἁπλοῦν γεῖσον ἐξ ἄβακος καὶ κυματίου. Δίχα τεθραυσμένη ὁριζοντίως κατὰ τὸν 16ον στίχον. Ὕψ. 0,51, πλ. 0,30, πάχ. 0,05. Εὑρέθη πρανὴς ἔμπροσθεν τοῦ Ναοῦ, κατὰ τὸ μεταξὺ τοῦ βάθρου Σύλλα καὶ τοῦ ἀριστεροῦ ἄκρου τοῦ περιβωμίου μέρος τοῦ ὑδραγωγείου Δ. Τὰ γράμματα (ὕψ. 0,005) πολλαχοῦ λίαν τετριμμένα, φαίνονται δὲ παραπλήσια τοῖς τῶν ἀνωτέρω ἀττικῶν ψηφισμάτων.

Τὸ δεύτερον ὄνομα ἴσως εἶνε ΕΦαρμόστου. Ἐν τῇ κατωτέρω, βοιωτικῆς διαλέκτου, ἐπιγραφῇ (ἀρ. 44) φέρεται ΕΠαρμόσστω. Εἰρήσθω ὅτι εὑρέθη καὶ ὄνομα *Παπάρμοστος* ἐν Ἀμφιαρείῳ, ἀλλ' ἂν τὸ πρῶτον ὄνομα τῆς προκειμένης εἶνε *Κτησίας*, δὲν ὑπάρχει χῶρος εἰς τοιαύτην συμπλήρωσιν. Σημειωθήτω ἐν παρόδῳ καὶ «Κτεισίαο ἄρχοντος Βοιωτῦς» παρὰ Larfeld *Sylloge* 21 καὶ 162.

Ἐν καλλίστῳ τόπῳ τοῦ ἱεροῦ ὁρίζεται καὶ ἡ ἀναγραφὴ τοῦ CIG 1570 καὶ ΕΑ. 1885, σ. 103.

43

Χ Α Ρ Ο Π Ι Ν Ω Α Ρ Χ Ο Ν Τ Ο Σ Ε Υ Φ Ρ
Α Ι Ν Ω Ν Π Τ Ω Ι Ο Δ Ω Ρ Ο Υ Ω Ρ Ω Π Ι
Ο Σ Ε Λ Ε Ξ Ε Δ Ε Δ Ο Χ Θ Η Τ Ο Ι Δ Α Μ
Ο Ι Α Π Ο Λ Λ Ο Δ Ω Ρ Ο Ν Φ Ρ Ο Υ Ν Ι Χ
Ο Υ Α Θ Α Ν Η Ο Ν Π Ρ Ο Ξ Ε Ν Ο Ν Ε Ι Μ
Ε Ν Κ Η Ε Υ Ε Ρ Γ Ε Τ Α Ν Τ Ω Κ Ο Ι Ν Ω
Β Ο Ι Ω Τ Ω Ν Α Υ Τ Ο Ν Κ Η Ε Γ Γ Ο Ν Ω
Σ Κ Η Ε Ι Μ Ε Ν Α Υ Τ Ο Ι Σ Γ Α Σ Ε Π Π
Α Σ Ι Ν Κ Η Ι Ι Κ Ι Α Σ Κ Η Α Σ Φ Α Λ Ι
Α Ν Κ Η Α Σ Ο Υ Λ Ι Α Ν Κ Η Π Ο Λ Ε Μ Ω
Ι Ο Ν Τ Ο Σ Κ Η Ι Ρ Α Ν Α Σ Κ Η Κ Α Τ Α
Γ Α Ν Κ Η Κ Α Τ Α Θ Α Λ Α Τ Τ Α Ν Κ Η Τ
Α Λ Λ Α Π Α Ν Τ Α Ο Σ Α . Η Τ Ο Ι Σ Λ Ο
Ι Π Ο Ι Σ Π Ρ Ο Ξ Ε Ν Ο Ι Σ Κ Η Ε Υ Ε Ρ
Γ Ε Τ Η ⁝ Σ Τ Ω Κ Ο Ι Ν Ω Β Ο Ι Ω Τ Ω Ν

Χαροπίνω ἄρχοντος, Εὐφρ-
αίνων *Πτωιοδώρου* Ὠρώπι-
ος ἔλεξε· δεδόχθαι τοῖ δάμ-
οι Ἀπολλόδωρον Φρουνίχ-
ου Ἀθανῆον πρόξενον εἶμ-
εν κὴ εὐεργέταν τῶ κοινῶ

Βοιωτῶν, αὐτὸν κὴ ἐγγόνω-
ς, κὴ εἶμεν αὐτοῖς γᾶς ἔππ-
ασιν κὴ Fικίας, καὶ ἀσφάλι-
αν, καὶ ἀσουλίαν. κὴ πολέμω
ἰόντος κὴ ἰράνας, κὴ κατὰ
γᾶν κὴ κατὰ θάλατταν, κὴ τ-
ἆλλα πάντα ὅσα [κ]ὴ τοῖς λο-
ιποῖς προξένοις κὴ εὐερ-
γέτης τῶ κοινῶ Βοιωτῶν.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου, δίχα τεθραυσμένη (κάτωθεν τοῦ τέλους τῆς ἐπιγραφῆς). Ὕψ. 0,63, πλ. 0,27, πάχ. 0,06. Εὑρέθη πρανὴς ἀριστερόθεν τοῦ περιβωμίου ἐπὶ τοῦ πρὸς τὸν Ναὸν τοίχου τοῦ ὑδραγωγείου Δ. Τὰ γράμματα ἐλάχιστόν τι μείζω τῶν τῆς προηγουμένης (ἀρ. 42).

Τὸ *ν* πολλαχοῦ δὲν διακρίνεται ἂν εἶνε ἰσοσκελές.

Ἄνωθεν τοῦ *Χαροπίνω* ὡσεὶ ἴχνη δύο στίχων (ἴσως *αρχ; αρχοντ;*).

Τὸ μετὰ τὰς λέξεις *ἔππασιν κὴ* γράμμα φαίνεται ὡς F, ἴσως δ' ἔχει καί τι τοῦ *κ* (πιθανῶς σφάλμα τοῦ χαράκτου).

Τὸ *η* ἀντικαθίστησι τὴν δίφθογγον *αι* πλὴν ἐν τῷ ὀνόματι *Εὐφραίνων* (πρβ. *εὐεργέτης*), οὐδαμοῦ ὅμως τὸ *υ* τὴν *οι*. Σημειωθήτωσαν ἔτι αἱ γενικαὶ *Πτωιοδώρου* καὶ *Φρουνίχου*.

Χαροπίνω ἄρχοντος φέρει καὶ τὸ ἑξῆς ψήφισμα, ὅπερ ὅμως πρὸς τοῖς ἄλλοις διαφέρει καὶ κατὰ τὰ γράμματα. *Χαροπίνω ἄρχοντος Βοιωτοῖς* ἀπαντᾷ ἐν Larfeld *Sylloge* 68 (ὀλίγον πρὸ τοῦ 200 π.Χ.) = Collitz *Sammlung d. griech. Dialekt-Inschr.* 418.

44

ΧΑΡΟΠΙΝΩΑΡΧΟΝΤΟΣΜΕΙΝΟΣΠΑΝΑΜΩ
ΕΠΕΨΑΦΙΔΕΔΙΔΥΜΜΩΝΕΠΑΡΜΟΣΣΤΩΟΠΟ
ΕΝΤΙΟΣΔΑΜΟΚΡΙΤΟΣΤΙΜΟΓΕΝΙΟΣΩΡΩΠΙΟ<
ΕΛΕΞΕΔΕΔΟΧΘΗΤΥΔΑΜΥΠΡΟΞΕΝΟΝΕΙΜΕΝ
ΚΗΕΥΕΡΓΕΤΑΝΤΩΚΥΝΩΒΟΙΩΤΩΝΚΛΕΟΦΑΝΤΟ
ΚΛΕΟΦΩΝΤΟΣΧΑΛΚΙΔΕΙΑΚΗΑΥΤΟΝΚΗ
ΕΓΓΟΝΩΣΚΗΕΙΜΕΝΑΥΤΟΙΚΗΓΑΣΚΗΥΚΙΑΣ
ΕΠΠΑΣΙΝΚΗFΙΣΟΤΕΛΙΑΝΚΗΑΣΦΑΛΙΑΝ
ΚΗΑΣΟΥΛΙΑΝΚΗΠΟΛΕΜΩΚΗΙΡΑΝΑΣΙΩΣΑΣ
ΚΗΚΑΤΑΓΑΝΚΗΚΑΤΑΘΑΤΤΑΝΚΗΤΑΑΛΛΑΠΑΝΤΑ
ΚΑΘΑΠΕΡΚΗΤΥΣΑΛΛΥΣΠΡΟΞΕΝΥΣΚΗΕΥ
.ΡΓΕΤΗΣ

Χαροπίνω ἄρχοντος, μεινὸς Πανάμω,
ἐπεψάφιδε Διδύμμων *Ἐπαρμόσστω* Ὀπο-
έντιος, Δαμόκριτος Τιμογένιος Ὠρώπιο[ς
ἔλεξε· δεδόχθη τῦ δάμυ πρόξενον εἶμε[ν
κὴ εὐεργέταν τῶ κυνῶ Βοιωτῶν Κλεόφαντ[ον
Κλεοφῶντος Χαλκιδεῖα κὴ αὐτὸν κὴ
ἐγγόνως, κὴ εἶμεν αὐτοῖ κὴ γᾶς κὴ ὑκίας
ἔππασιν, κὴ Fισοτέλιαν κὴ ἀσφάλιαν
κὴ ἀσουλίαν, κὴ πολέμω κὴ ἰράνας ἰώσας,
κὴ κατὰ γᾶν κὴ κατὰ θά(*λα*)τταν, κὴ τὰ ἄλλα πάντα
κ]αθάπερ κὴ τῦς ἄλλυς προξένυς κὴ εὐ-
ε]ργέτης.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0,65, πλ. 0,35, πάχ. 0,07. Εὑρέθη ἐν τῷ Ναῷ ἔμπροσθεν τῆς εἰς τὸ πρόθυρον *α'* ἀγούσης θύρας. Τὰ γράμματα (ὕψ. μέχρι 0,009) εἰσὶ μείζω, παχύτερα (ἰδίᾳ κατὰ τἄκρα τῶν γραμμῶν) καὶ ἀμελέστερα τῶν τῆς προηγουμένης. Τὸ *μ* ἔχει ἔνθα μὲν ἀνοικτά, ἔνθα δὲ κάθετα τὰ σκέλη.

Στίχ. 2. *Ἐπεψάφιδε* δι' ἑνὸς *σ*· *Διδύμμων* διὰ δύο *μ*. Σύγχυσις τῆς ἐλλείψεως καὶ τοῦ πλεονασμοῦ τῶν διττῶν καὶ ἁπλῶν συμφώνων.

Στίχ. 3. Ἐν λέξει *Τιμογένιος* τὸ *μ* φαίνεται ὡς ἐπὶ *ο* ἐπιγεγλυμμένον. Ἴσως ὁ χαράκτης παραλιπὼν τὸ *μ* ἔγραψε τὸ μετ' αὐτὸ γράμμα, εἶτα δ' εὐθὺς διώρθωσε τὸ σφάλμα.

Στίχ. 10. Ὁ χαράκτης παρέλιπε τὸ *λα* τοῦ *θάλατταν*.

Ἡ δίφθογγος *οι* μόνον ἐν λέξεσι *Βοιωτῶν* (πρβ. ἀλλαχοῦ *Βυωτῶν* Bull. de corr. hell. 9,430 ἀρ. 45) καὶ *αὐτοῖ* παρατηρεῖται.

Ὡς πρὸς τὸν ἄρχοντα πρβ. ἀνωτέρω (ἀριθ. 43).

45

ΠΑΜΠΕΙΡΙΧΩΑΡΧΟΝΤΟΣΕΝΔΙΟΣ
ΤΗΛΕΓΟΝΩΠΛΑΤΑΙΕΥΣΕΛΕΞΕΤΥ
ΔΑΜΥΠΡΟΞΕΝΟΝΕΙΜΕΝΚΗΕΥΕΡΓΕ
ΤΑΝΤΩΚΟΙΝΩΒΟΙΩΤΩΝΑΡΙΣΤΗΩΝΑ
ΑΡΙΣΤΕΩΣΡΟΔΙΟΝΚΗΑΥΤΟΝΚΗ
ΕΓΓΟΝΩΣΚΗΕΙΜΕΝΑΥΤΩΓΑΣΚΗΟ
ΚΙΑΣΕΜΠΑΣΙΝΚΗΙΣΟΤΕΛΕΙΑΝΚΗΑ
ΣΦΑΛΙΑΝΚΗΑΣΥΛ ΙΑΝΚΗΠΟΛΕΜΩ
ΚΗΕΙΡΑΝΑΣΙΩ ΣΑΣΚΗΚΑΤΑΓΑΝΚΗ
.ΑΤΑΘΑΛΑΤΤΑΝΚΗΤΑΑΛΛΑΠΑΝ
ΤΑΚΑΘΑΠΕΡΚΗΤΟΙΣΑΛΛΟΙΣΠΡΟΞΕ
ΝΟΙΣΚΗΕΥΓΕΤΑΙΣΤΩΚΟΙΝΩΒΟΙΩΤΩΝ

Παμπειρίχω ἄρχοντος, Ἔνδιος
Τηλεγόνω Πλαταιεὺς ἔλεξε τῦ
δάμυ πρόξενον εἶμεν κὴ εὐεργέ-
ταν τῶ κοινῶ Βοιωτῶν Ἀριστήωνα
Ἀριστέως Ῥόδιον κὴ αὐτὸν κὴ
ἐγγόνως, κὴ εἶμεν αὐτῶ γᾶς κὴ ο[ἰ-
κίας ἔμπασιν, κὴ ἰσοτέλιαν κὴ ἀ-
σφάλιαν κὴ ἀσυλίαν, κὴ πολέμω
κὴ εἰράνας ἰώσας, κὴ κατὰ γᾶν κὴ
κ]ατὰ θάλατταν, κὴ τὰ ἄλλα πάν-
τα καθάπερ κὴ τοῖς ἄλλοις προξέ-
νοις κὴ εὐ(ερ)γέταις τῶ κοινῶ Βοιωτῶν.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0,57, πλ. 0,30, πάχ. 0,07. Εὑρέθη πρανὴς ὅπου καὶ ἡ 43, ἐπὶ τοῦ πρὸς τὸ περιβώμιον τοίχου τοῦ ὑδραγωγείου Δ (πρβ. ἀρ. 47). Τὰ γράμματα (ὕψ. 0,007) εἰσὶν ἐπιμελῶς κεχαραγμένα.

Ἡ δίφθογγος *αι* εὕρηται ἐν λέξεσι *Πλαταιεὺς* καὶ *εὐ(ερ)γέταις*. Ὡσαύτως ἀπαντῶσιν ἀμφότεραι αἱ γραφαὶ *ι* καὶ *ει*, *υ* καὶ *οι* (πρβ. καὶ *αὐτῶ* στ. 6).

Στίχ. 4. *Ἀριστήωνα*. Ἴσως = *Ἀρισταίωνα* μᾶλλον ἢ ἀντὶ τοῦ *Ἀριστίωνα* ἢ *Ἀριστέωνα*, καίτοι *Ἀρισταίων* ὄνομα δὲν ὑπάρχει παρὰ Pape.

Πανπιρίχω ἄρχοντος φέρει τὸ ἑξῆς ψήφισμα.

46

ΠΑΝΠΙΡΙΧΩΑΡΧΟΝΤΟΣΜΕΙΝΟΣΠΑΝΑΜΩ
ΕΠΕΨΑΦΙΔΔΕΛΥΣΑΝΔΡΟΣΜΕΙΛΙΧΩΩΡΩΠΙΟΣ
ΜΙΚΡΙΝΑΣΞΕΝΩΝΟΣΘΕΙΣΠΙΕΥΣΕΛΕΞΕΔΕΔΟΧΘΗ
ΤΟΙΔΑΜΟΙΠΡΟΞΕΝΟΝΕΙΜΕΝΚΗΕΥΕΡΓΕΤΑΝ
ΤΩΚΥΝΩΒΟΙΩΤΩΝΣΤΡΑΤΩΝΑΑΠΟΛΛΟΦΑΝΙΟΣ
ΣΙΔΩΝΙΟΝΚΗΑΥΤΟΝΚΗΕΓΓΟΝΩΣΚΗΕΙΜΕΝΑΥΤΟΙ
ΓΑΣΚΗϜΟΙΚΙΑΣΕΠΠΑΣΙΝΚΗϜΙΣΟΤΕΛΙΑΝ
ΚΗΑΣΦΑΛΙΑΝΚΗΑΣΟΥΛΙΑΝΚΗΠΟΛΕΜΩΚΗΙΡΑΝΑ_
ΕΩΣΑΣΚΗΚΑΤΑΓΑΝΚΗΚΑΤΘΑΛΑΤΤΑΝ
ΚΗΤΑΛΛΑΠΑΝΤΑΚΑΘΑΠΕΡΚΗΤΟΙΣΑΛΛΟΙΣ
¬ΡΟΞΕΝΟΙΣΚΗΕΥΕΡΓΕΤΗΣ

Πανπιρίχω ἄρχοντος, μεινὸς Πανάμω,
ἐπεψάφιδδε Λύσανδρος Μειλίχω Ὠρώπιος,
Μικ;]ρίνας Ξένωνος Θεισπιεὺς ἔλεξε· δεδόχθη
τοῖ δάμοι πρόξενον εἶμεν κὴ εὐεργέταν
τῶ κυνῶ Βοιωτῶν Στράτωνα Ἀπολλοφάνιος
Σιδώνιον, κὴ αὐτὸν κὴ ἐγγόνως, κὴ εἶμεν αὐτοῖ
γᾶς κὴ Ϝοικίας ἔππασιν, κὴ Ϝισοτέλιαν,
κὴ ἀσφάλιαν, κὴ ἀσουλίαν, κὴ πολέμω κὴ ἰράνα[ς
ἐ]ώσας, κὴ κατὰ γᾶν κὴ κατ θάλατταν,
κὴ τἄλλα πάντα καθάπερ κὴ τ[ο]ῖς ἄλλοις
π]ροξένοις κὴ εὐεργέτης.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0,65, πλ. 0,34-0,37, πάχ. 0,07. Εὑρέθη ὄπισθεν τῶν τελευταίων ἐν ἀριστερᾷ βάθρων ἐντὸς λεκάνης πωρίνης ὀρθὴ ἐπὶ τῆς ἀριστερᾶς πλευρᾶς ἐγκειμένη.

Ἡ δίφθογγος οι μόνον ἐν λέξει *κυνῶ* ἀντικατεστάθη διὰ τοῦ υ.

Παμπειρίχω ἄρχοντος φέρει τὸ προηγούμενον ψήφισμα (ἀριθ. 45). Ἀλλὰ τὰ γράμματα τοῦ παρόντος (ὕψ. 0,008) εἰσί πως μᾶλλον τοῖς τοῦ 44 ὅμοια κατὰ τὴν χάραξιν. Τὸ *α* φαίνεται ἐνιαχοῦ μὴ ἔχον εὐθεῖαν τὴν μεταξὺ τῶν σκελῶν γραμμήν. Τοῦ ω τὰ ἄκρα τῆς καμπύλης ἐξέρχονται τῶν ὁριζοντίων γραμμῶν. Τὸ *μ* ἔχει σχεδὸν παράλληλα τὰ σκέλη, τὸ δὲ *ν* σχεδὸν ἴσας τὰς καθέτους.

Λύσανδρος Μειλίχω κατωτέρω (ἀριθ. 52.1). *Κλεόμαχος Μειλίχου* εἶπεν ἐν ΕΑ. 1889 σελ. 31 τρία ψηφίσματα (2, 3, 6), ὧν ἐν ὀνομάζει πρόξενον τὸν *Γενναῖον Κλέωνος Ἐλατέα*[1]. Ἐνταῦθα μνημονευτέον ὅτι οἱ αὐτοὶ ἄνδρες ἀπαντῶσι καὶ ἐν Bull. de corr. hellén. 10,361 : «*Ἀγα*]*θᾶι τύχαι· ἄρχοντος Γενναίου ἔδωκεν ἁ πόλις τῶν Ἐλατέων* [*Κλεομ*]*άχωι Μειλίχου Βοιωτίωι ἐξ Ὠρωποῦ προξενίαν* . . . », τὸ δὲ ψήφισμα τοῦτο ἀνάγεται εἰς τὸ τέλος τοῦ 3ου ἢ εἰς τὴν ἀρχὴν τοῦ 2ου αἰῶνος π. Χ. Πρβ. καὶ *ἱερέως . . . Κλεομάχου* (κατωτ. ἀρ. 56.3, τῶν αὐτῶν χρόνων). *Λύσανδρος εἶπεν* ἀνωτ. ἀρ. 35. Ἄλλον Λύσανδρον πρβ. ΕΑ. 1889 σελ. 10. (Ἐν τῇ μεταγραφῇ ἐκεῖ ἐκ παραδρομῆς ἐγράφη στίχ. 26 *ἐπὶ* ἀντὶ *περί*, στ. 55 *ἄλλης* ἀντὶ *ἄλλη*, στ. 57 *ἥ*[μ]*ισυ* ἀντὶ ἥ[μ]υσυ· προστεθήτω ἐν τῇ αὐτῇ ἐπιγραφῇ ὅτι τὰ γράμματα *α* καὶ *β* ἐν οἰκείοις τόποις ἐν ἀρχῇ τῶν ἀριθμῶν ἔχουσι καμπυλοειδῆ τὴν προεκβολὴν πρὸς τὰ ἀριστερὰ τῆς κορυφῆς, τοῦ κυρτοῦ ὄντος πρὸς τὰ ἄνω).

Στίχ. 3. Φαίνεται ὡσεὶ [*Μικ*]*ρίνας*· τοιοῦτον ὄνομα δὲν ἀπαντᾷ παρὰ Pape, ἀλλὰ παρὰ Larfeld *Sylloge* 156.

47

ΠΥΡΙΔΗΣΔΗΜΟΧΑΡΟΥΕΙΠΕΝ
ΔΕΔΟΧΘΑΙΤΩΙΔΗΜΩΙΦΙΛΟΚΛΗΝ
ΘΕΟΔΟΤΟΥΕΦΕΣΙΟΝΠΡΟΞΕΝΟΝΕΙΝΑ
ΤΗΣΠΟΛΕΩΣΩΡΩΠΙΩΝΚΑΙΑΥΤΟΝΚΑΙ
ΕΓΓΟΝΟΥΣΚΑΙΕΙΝΑΙΑΥΤΩΙΓΗΣΚΑΙ
ΟΙΚΙΑΣΕΓΚΤΗΣΙΝΚΑΙΙΣΟΤΕΛΕΙΑΝ
ΚΑΙΑΣΥΛΙΑΝΚΑΙΑΣΦΑΛΕΙΑΝΚΑΙ
ΠΟΛΕΜΟΥΚΑΙΕΙΡΗΝΗΣΚΑΙΚΑΤΑΓΗΝ
ΚΑΙΚΑΤΑΘΑΛΑΤΤΑΝΚΑΙΤΑΛΛΑΠΑΝ
ΤΑΚΑΘΑΠΕΡΚΑΙΤΟΙΣΑΛΛΟΙΣΠΡΟΞΕ
ΝΟΙΣΚΑΙΕΥΕΡΓΕΤΑΙΣ

Πυρίδης Δημοχάρου εἶπεν·
δεδόχθαι τῶι δήμωι Φιλοκλῆν
Θεοδότου Ἐφέσιον πρόξενον εἶνα[ι
τῆς πόλεως Ὠρωπίων, καὶ αὐτὸν καὶ
ἐγγόνους, καὶ εἶναι αὐτῶι γῆς καὶ
οἰκίας ἔγκτησιν, καὶ ἰσοτέλειαν,
καὶ ἀσυλίαν, καὶ ἀσφάλειαν, καὶ
πολέμου καὶ εἰρήνης, καὶ κατὰ γῆν
καὶ κατὰ θάλατταν, καὶ τἆλλα πάν-
τα καθάπερ καὶ τοῖς ἄλλοις προξέ-
νοις καὶ εὐεργέταις.

Στήλη λευκοῦ μαρμάρου, ἄνευ ἀετώματος, φέρουσα γεῖσον μετὰ κυματίων. Δίχα τεθραυσμένη ὑπὸ τὸν 7ον στίχον μέχρι τοῦ 9ου. Ὕψ. 0.57, πλ. 0.21—0.23. Εὑρέθη πρανὴς παρὰ τῇ 45 κάτωθεν ἄλλων λίθων, ἴσως ἐν ἐπισκευῇ τοῦ ὑδραγωγείου τεθεῖσα.

Ἐν ἀριστερᾷ ὁ λίθος κατὰ τὴν ἄνω καὶ κάτω γωνίαν φέρει ἀνὰ μίαν μικρὰν διαμπερῆ ὀπήν. Ἡ κάτω ἐπιφάνεια ὑπὸ τὴν ὀπὴν ὀλίγον τι κεκομμένη ἐπίτηδες. Ἡ ὄπισθεν ἐπιφάνεια φέρει ἐν μέρει πλαίσιον. Ἡ ἀριστερὰ καὶ δεξιὰ ἐπιφάνεια καλῶς γεγλυμμέναι. Ἐκ τούτων φαίνεται ὅτι τοῦ λίθου δὲν ἐγένετο μόνον χάριν τῆς παρούσης ἐπιγραφῆς χρῆσις.

Ἡ ἀρχὴ τῆς ἐπιγραφῆς δὲν κεῖται πλησίον ὑπὸ τὸ γεῖσον, ἀλλὰ κατωτέρω (0.20 ἀπὸ τῆς κορυφῆς τοῦ λίθου).

Ὕψ. γρμ. περ. 0.007. Τοῦ *σ* ἐνιαχοῦ τὸ ἕτερον σκέλος ἀφίσταται.

Πυ*ρίδης* (δι' ἑνὸς *ρ*) δὲν ὑπάρχει παρὰ Pape.

48

Π Α Ρ Α Μ Ο Ν Ο Σ Β Ο Η Θ
Ε Ι Π Ε Ν Ε Π Ε Ι Δ Η Σ Ι Μ Ι Α
Ε Υ Ν Ο Υ Σ Ω Ν Δ Ι Α Τ Ε /
Τ Η Ι Π Ο Λ Ε Ι Ω Ρ Ω Π Ι Ω
Κ Α Ι Ι Δ Ι Α Ι Κ Α Ι Κ Ο Ι Ν Η Ι Τ Ο
Α Ε Ι Δ Ε Ο Μ Ε Ν Ο Ι Σ Τ Ω
Π Ο Λ Ι Τ Ω Ν Χ Ρ Ε Ι Α Σ Π Α
Ρ Ε Χ Ο Μ Ε Ν Ο Σ Κ Α Ι Λ Ε Γ Ω Ν

[1] Ὡς πρὸς τὸ 6ον ψήφισμα *Καλλίαν Νίκωνος Ἐλατέα* εἰρήσθω ὅτι Νίκων ἄρχων ἀναγράφεται (δὶς) ἐν Ἐλατ. ἐπιγρ. Bull. de corr. hell. 10,379.

ΚΑΙΠΡΑΤΤΩΝΤΑΣΥΜΦΕ
ΡΟΝΤΑΔΕΔΟΧΘΑΙΤΩΙ
ΔΗΜΩΙΣΙΜΙΑΝΤΑΤΤΑΒΟ`
ΛΑΜΨΑΚΗΝΟΝΠΡΟΞΕ
ΝΟΝΕΙΝΑΙΤΗΣΠΟΛΕΩΣ
ΩΡΩΠΙΩΝΚΑΙΑΥΤΟΝΚΑΙ
ΞΓΓΟΝΟΥΣΚΑΙΕΙΝΑΙΑΥ
ΟΙΣΓΗΣΚΑΙΟΙΚΙΑΣΕΓ
ΤΗΣΙΝΚΑΙΙΣΟΤΕΛΕΙΑΝ
ΚΑΙΑΣΥΛΙΑΝΚΑΙΠΟΛΕ
ΜΟΥΚΑΙΕΙΡΗΝΗΣΚΑΙΚΑΤΑ
ΗΝΚΑΙΚΑΤΑΘΑΛΑΤ
ΑΝΚΑΙΤΑΛΛΑΠΑΝ
ΑΚΑΘΑΠΕΡΤΟΙΣΑΛ
ΛΟΙΣΠΡΟΞΕΝΟΙΣ

Παράμονος Βοήθ[ου
εἶπεν· ἐπειδὴ Σιμία[ς
εὔνους ὢν διατε[λεῖ
τῆι πόλει Ὠρωπίω[ν
καὶ ἰδίαι καὶ κοινῆι το[ῖς
ἀεὶ δεομένοις τῶ[ν
πολιτῶν χρείας πα-
ρεχόμενος, καὶ λέγω[ν
καὶ πράττων τὰ συμφέ-
ροντα, δεδόχθαι τῶι
δήμωι Σιμίαν *Ταττάβο*[ν
Λαμψακηνὸν πρόξε-
νον εἶναι τῆς πόλεως
Ὠρωπίων, καὶ αὐτὸν καὶ
ἐ]γγόνους, καὶ εἶναι αὐ-
τ]οῖς γῆς καὶ οἰκίας ἔγ-
κ]τησιν, καὶ ἰσοτέλεια[ν,
κ]αὶ ἀσυλίαν, καὶ πολέ-
μου καὶ εἰρήνης, καὶ κατὰ
γ]ῆν καὶ κατὰ θάλατ-
τ]αν, καὶ τἆλλα πάν-
τ]α καθάπερ τοῖς ἄλ-
λοις προξένοις.

Στήλη μετ' ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0.60, πλ. 0.20—0.22, πάχ. 0.05. Εὑρέθη πρανὴς κατὰ τὸν αὐτόν που καὶ ἡ 43 τόπον.

Τὰ γράμματα (ὕψ. 0.01 περ.) παχέα καὶ ἀμελῶς μᾶλλον γεγλυμμένα. Τὸ ξ τοῦ *πρόξε* (στίχ. 12) φαίνεται ὡσεὶ ἔχον κάθετον λεπτὴν διατέμνουσαν τὰς τρεῖς παραλλήλους. Κατωτέρω ὅμως ἐν λέξει *προξένοις* (στίχ. 23) δὲν φαίνεται τοιαύτη.

Πρβ. «Παραμόνου» Ἐφ. Ἀρχ. 1889 σελ. 7. κατωτ. ἀριθ. 56, 3.

Τάτταβος ὄνομα δὲν ὑπάρχει παρὰ Pape. Σημειωτέον ὅτι *Τάττα* ἀναφέρεται παρὰ Στράβωνι (568) λίμνη (ἁλοπήγιον αὐτοφυὲς) παρακειμένη τῇ μεγάλῃ Καππαδοκίᾳ.

49

Θ Ε Ο Ι
ΦΙΛΟΞΕΝΟΣΕΥΚΛΕΟΥΕΙΠΕΝΕΠΕΙΔΗ
ΑΥΤΙΑΣΑΥΤΟΚΛΕΟΥΑΘΗΝΑΙΟΣΔΙ
ΑΤΕΛΕΙΕΥΝΟΥΣΚΑΙΧΡΗΣΙΜΟΣΩΝ
ΔΕΔΟΧΘΑΙΤΩΙΔΗΜΩΙΕΙΝΑΙΑΥΤΟΝΠ
ΡΟΞΕΝΟΝΚΑΙΕΥΕΡΓΕΤΗΝΤΗΣΠΟΛΕΩ
ΣΩΡΩΠΙΩΝΚΑΙΑΥΤΟΝΚΑΙΕΓΓΟΝΟΥΣΚ
ΑΙΕΙΝΑΙΑΥΤΟΙΣΓΗΣΚΑΙΟΙΚΙΑΣΕΝΚΤ
ΗΣΙΝΚΑΙΑΣΦΑΛΕΙΑΝΚΑΙΑΣΥΛΙΑΝΚΑΙΠΟΛΕ
ΜΟΥΚΑΙΕΙΡΗΝΗΣΚΑΙΚΑΤΑΓΗΝΚΛΙΚΑΤΑΘΑΛΑΤ
ΤΑΝΚΑΙΙΣΟΤΕΛΕΙΑΝΚΑΙΤΑΛΛΑΠΑΝΤΑΚΑ
ΘΑΠΕΡΤΟΙΣΑΛΛΟΙΣΠΡΟΞΕΝΟΙΣΑΝ///ΓΡΑΨ
ΑΙΔΕΤΗΝΠΡΟΞΕΝΙΑΝΕΝΣΤΗΛΗΙΛΙΘΙΝΗΙ
ΚΑΙΣΤΗΣΑΙΕΝΤΩΙΙΕΡΩΙΤΟΥΑΜΦΙΕΡΑΟΥ

Θεοί.
Φιλόξενος Εὐκλέου εἶπεν· ἐπειδὴ
Αὐτίας Αὐτοκλέου Ἀθηναῖος δι-
ατελεῖ εὔνους καὶ χρήσιμος ὤν,
δεδόχθαι τῶι δήμωι εἶναι αὐτὸν π-
ρόξενον καὶ εὐεργέτην τῆς πόλεω-

ς Ὠρωπίων, καὶ αὐτὸν καὶ ἐγγόνους, κ-
αὶ εἶναι αὐτοῖς γῆς καὶ οἰκίας ἔνκτ-
ησιν, καὶ ἀσφάλειαν, καὶ ἀσυλίαν, καὶ πολέ-
μου καὶ εἰρήνης, καὶ κατὰ γῆν καὶ κατὰ θάλατ-
ταν, καὶ ἰσοτέλειαν. καὶ τἆλλα πάντα κα-
θάπερ τοῖς ἄλλοις προξένοις· ἀν[α]γράψ-
αι δὲ τὴν προξενίαν ἐν στήληι λιθίνηι
καὶ στῆσαι ἐν τῶι ἱερῶι τοῦ Ἀμφιεράου.

Στήλη μετ᾽ ἀετώματος, λευκοῦ μαρμάρου. Ὕψ. 0.80, πλ. 0.42, παχ. 0.09. Εὑρέθη ὑπτία παρὰ τῇ 43.

Τὰ γράμματα (ὕψ. 0.012) εἰσὶ καλῶς κεχαραγμένα· τὸ *σ* ὀλίγον ἀνοικτοσκελές. Τὰ τοῦ 2ου στίχου ὀλίγον ἐλάσσω τῶν λοιπῶν.

Καὶ ἐνταῦθα ἡ γραφὴ *Ἀμφι*Ε*ράου* (στίχ. 14).

50

ΘΕΟΣ
ΔΡΙΜΩΝΕΛΕΞΕΕΔΟΞΕ
ΤΕΙΕΚΚΛΗΣΙΕΙΑΓΑΘΕΙΤΥΧΕΙ
ΑΜΥΝΤΑΝΑΝΤΙΟΧΟΥΜΑΚΕ
ΔΟΝΑΠΡΟΞΕΝΟΝΕΙΝΩΡΩΠΙ
ΩΝΚΑΙΕΥΕΡΓΕΤΗΝΑΤΕΛΕΙΑΝ
ΔΕΕΙΝΚΑΙΑΣΥΛΙΑΝΚΑΙΠΟΛΕΜΟ
ΚΑΙΕΙΡΗΝΗΣΚΑΙΓΗΣΚΑΙΟΙΚΙΗΣ
ΕΝΚΤΗΣΙΝΑΥΤΩΙΚΑΙΕΚΓΟΝΟΙΣ

Θεός.
Δρίμων ἔλεξε· ἔδοξε
τεῖ ἐκκλησίει, ἀγαθεῖ τύχει,
Ἀμύνταν Ἀντιόχου Μακε-
δόνα πρόξενον εἶν Ὠρωπί-
ων καὶ εὐεργέτην, ἀτέλειαν
δὲ εἶν καὶ ἀσυλίαν, καὶ πολέμο[υ
κ]αὶ εἰρήνης, καὶ γῆς καὶ οἰκίης
ἔνκτησιν, αὐτῶι καὶ ἐκγόνοις.

Στήλη λευκοῦ μαρμάρου ἀπολήγουσα ἄνω εἰς ἁπλοῦν τριγωνικὸν χῶρον ἐξέχοντα ὀλίγον ὡς ἡ πρώτη (ἀριθ. 34). Ὕψ. 0.70, πλ. 0.29, πάχ. 0.05. Εὑρέθη πρανὴς κάτωθεν τῆς ὑπ᾽ ἀριθ. 36.

Ὕψ. γρμ. ὡς 0.012. Τὰ *ο*, *θ*, *ω* σχεδὸν ἰσοϋψῆ τοῖς λοιποῖς.

Στίχ. 2. Τὰ μετὰ τὸ *Δρίμων* ε̄ γράμματα (*λεξε ἔδοξε*) εἶνε ἐπὶ ἐσβεσμένων ἐπιγεγλυμμένα (ὅρα καὶ τὴν σύγχρονον ἑξῆς ἀριθ. 51).

Στίχ. 9. Τὸ *ι* τοῦ *ἐκγόνοις* φαίνεται ὡσεὶ ἔπειτα ἐνσφηνωθέν.

Εἰρήσθω ὅτι *Δρύμων* ὑπάρχει παρὰ Pape.

Παρατηρητέοι οἱ ἰωνικοὶ τύποι *ἐκκλησίει*, *οἰκίης* κτλ. Πρβ. καὶ ἀνωτ. ἀριθ. 39 καὶ 40.

51

ΜΩΝΕΛΕΞΕΕΔΟΞΕ
ΕΙΕΚΚΛΗΣΙΕΙΑΓΑΘΕΙΤΥΧΕΙ
ΑΥΝΤΑΝΠΕΡΔΙΚΚΑΜΑΚΕΔΟΝ
ΟΞΕΝΟΝΕΙΝΩΡΩΠΙΩΝ
ΑΙΕΥΕΡΓΕΤΗΝΑΤΕΛΕΙΑΝΔΕ
ΙΝΚΑΙΑΣΥΛΙΑΝΚΑΙΠΟΛΕΜΟΥ
ΚΑΙΕΙΡΗΝΗΣΚΑΙΓΗΣΚΑΙΟΙΚΙΗΣ
ΕΝΚΤΗΣΙΝΑΥΤΩΙΚΑΙΕΚΓΟΝΟΙΣ

[Θεός].
Δρί]μων ἔλεξε· ἔδοξε
τ]εῖ ἐκκλησίει, ἀγαθεῖ τύχε[ι,
Ἀμ]ύνταν Περδίκκα *Μακεδόν[α*
πρ]όξενον εἶν Ὠρωπίων
κα]ὶ εὐεργέτην, ἀτέλειαν δὲ
ε]ἶν καὶ ἀσυλίαν, καὶ πολέμου
καὶ εἰρήνης, καὶ γῆς καὶ οἰκίης
ἔνκτησιν, αὐτῶι καὶ ἐκγόνοις.

Στήλη λευκοῦ μαρμάρου, ἐλλιπὴς τὰ ἄνω καὶ κάτω (ἡ ἐπιγραφὴ πλήρης ἐν τέλει).

Σχῆμα εἶχεν ὁ λίθος πιθανῶς τὸ αὐτὸ καὶ ὁ προηγούμενος, ὡς ἔχει ὅμοια τά τε γράμματα καὶ τὸν τύπον αὐτολεξεὶ (πρβ. καὶ τὰ ὀνόματα). Καὶ ἐνταῦθα τὰ *λεξε ἔδοξε*, ὡς φαίνεται δὲ καὶ τὸ *Μακεδόν*[*α*] εἰσὶν ἐπὶ ἀπεξεσμένων γεγλυμμένα. Ὕψ. σωζ. 0.39. Πλάτος καὶ πάχος τὸ αὐτό που καὶ ἡ 50. Εὑρέθη πρανὴς παρὰ τὴν προηγουμένην (50) καὶ τὴν ὑπ᾽ ἀριθ. 38.

52

(Πρβ. ἀριθ. 3.)

Τὰ ἑξῆς τρία ψηφίσματα εὕρηνται ἐπὶ τοῦ βάθρου *Βασιλεὺς Λυσίμαχος* [1] γεγλυμμένα ἐπὶ τῆς προσθίας ἐπιφανείας εὐθὺς ὑπὸ τὸ ὄνομα τοῦ τεχνίτου. Τὸ βάθρον κεῖται δεξιόθεν τῆς βάσεως *Σῶσις ἐποίησε* (Ἐφ. Ἀρχ. 1886 σελ. 53).

[1] Ἐφ. Ἀρχ. 1885, σελ. 102, ἀρ 3. «Πρακτικὰ» τοῦ 1884, πίν. Ε΄. ι΄΄΄.

1 ΑΝΤΙΓΩΝΟ[illegible]ΑΡΧΟΝΤΟΣΛΥΣΑΝΔΡΟΣΜΕΙΛΙΧΩΩΡΩΠΙΟΣΕΛΕΞΕΕΠΙΔΕΙΘΕΟΜΝΑΣΤΟΣ
ΕΥΝΟΟΣΕΩΝΔΙΑΤΕΔΙΤΟΙΚΟΙΝΟΙΒΟΙΩΤΩΝΚΗΠΑΡΕΧΕΤΗΧΡΕΙΑΣΤΟΙΣΔΕΙΟΜΕΝΟΙΣ
ΕΝΠΑΝΤΙΚΗΡΟΙΔΕΔΟΧΘΗΤΟΙΔΑΜΟΙΘΕΟΜΝΑΣΤΟΝΣΚΥΛΑΚΟΣΑΛΙΚΑΡΝΑΣΣΕΙΑΠΡ
ΞΕΝΟΝΕΙΜΕΝΚΗΕΥΕΡΓΕΤΑΝΤΩΚΟΙΝΩΒΟΙΩΤΩΝΑΥΤΟΝΚΗΕΣΓΟΝΩΣΚΗΕΙΜΕΝΑΥΤ
ΟΙΓΑΣΚΗFΟΙΚΙΑΣΕΝΠΑΣΙΝΚΗΑΣΥΛΙΑΝΚΗΑΣΦΑΛΙΑΝΚΗΚΑΤΑΓΑΝΚΑΤΑΘΑΛΑ
-ΑΝΚΗΠΟΛΕΜΩΙΟΝΤΟΣΚΗΕΙΡΑΝΑΣΚΗΤΑΑΛΛΑΠΑΝΤΑΥΠΑΡΧΕΜΕΝΑΥΤΟΙΚΑΘΑΚΗΤΟΙ
ΑΛΛΟΙΣΠΡΟΞΕΝΟΙΣΚΗΕΥΕΡΓΕΤΗΣ

2 ΥΒΟΥΛΟΣΑΜΥΝΤΟΥΕΙΠΕΝΕΠΕΙΔΗΕΚΑΤΑΙΟΣΝΟΥΜΗΝΙΟΥΜΕΣΗΛ
ΡΙΑΝΟΣΔΙΑΤΕΛΕΙΕΥΝΟΥΣΩΝΚΑΙΧΡΗΣΙΜΟΣΤΕΙΠΟΛΕΙΔΕΔΟΧΘΑΙΤΩΙΔΗΜΩ
ΝΑΙΑΥΤΟΝΠΡΟΞΕΝΟΝΚΑΙΕΥΕΡΓΕΤΗΝΤΗΣΠΟΛΕΩΣΩΡΩΠΙΩΝΚΑΙΑΥΤΟΚ
ΚΑΙΕΚΓΟΝΟΥΣΚΑΙΔΕΔΟΣΘΑΙΑΥΤΩΙΓΗΣΚΑΙΟΙΚΙΑΣΕΝΚΤΗΣΙΝΚΑΙΑΣΦΑΛΕΙ
ΑΝΚΑΙΑΣΥΛΙΑΝΚΑΙΠΟΛΕΜΟΥΚΑΙΕΙΡΗΝΗΣΚΑΙΚΑΤΑΓΗΝΚΑΙΚΑΤΑΘΑΛΑΤΤΑΝ
ΚΑΙΙΣΟΤΕΛΕΙΑΝΚΑΙΤΑΛΛΑΠΑΝΤΑΚΑΘΑΠΕΡΤΟΙΣΑΛΛΟΙΣΠΡΟΞΕΝΟΙΣΚΑΙ
ΕΥΕΡΓΕΤΑΙΣ

3 ΕΥΒΟΥΛΟΣΑΜΥΜΤΟΥΕΙΠΕΝΕΠΕΙΔΗΠΛΑΤΩΡΕΥΝΟΥΣΩΝΔΙΑΤΕΛΕΙΚΑΙΤΩΝΠΟΛΙΤΩΝΑΕΙΤΟΙΣΔΕ
ΟΜΕΝΟΙΣΧΡΕΙΑΣΠΑΡΕΧΕΤΑΙΕΝΠΑΝΤΙΚΑΙΡΩΙΔΕΔΟΧΘΑΙΤΕΙΒΟΥΛΕΙΚΑΙΤΩΙΔΗΜΩΙΠΛΑΤΟΡΑΕΠΙ
ΚΑΔΟΥΔΙΜΑΛΛΙΤΗΝΠΡΟΞΕΝΟΝΕΙΝΑΙΚΑΙΕΥΕΡΓΕΤΗΝΤΗΣΠΟΛΕΩΣΩΡΩΠΙΩΝΚΑΙΑΥΤΟΝΚΑΙΕΚΓΟ
ΝΟΥΣΚΑΙΕΙΝΑΙΑΥΤΩΠΤΗΣΚΑΙΟΙΚΙΑΣΕΝΚΤΗΣΙΝΚΑΙΙΣΟΤΕΛΕΙΑΝΚΑΙΑΣΥΛΙΑΝΚΑΙΑΣΦΑΛΕΙΑΝΚΑ
ΤΑΓΗΝΚΑΙΚΑΤΑΘΑΛΑΤΤΑΝΚΑΙΠΟΛΕΜΟΥΟΝΤΟΣΚΑΙΕΙΡΗΝΗΣΚΑΙΤΑΛΛΑΠΑΝΤΑΥΠΑΡΧΕΙΝΑΥΤΩΙ
ΚΑΘΑΠΕΡΤΟΙΣΑΛΛΟΙΣΠΡΟΞΕΝΟΙΣΚΑΙΕΥΕΡΓΕΤΑΙΣ

1 Ἀντίγωνο[ς] ἄρχοντος, Λύσανδρος Μειλίχω Ὠρώπιος ἔλεξε· ἐπιδεὶ Θεόμναστος
εὔνοος ἐὼν διατελῖ τοῖ κοινοῖ Βοιωτῶν κὴ παρέχετη χρείας τοῖς δειομένοις
ἐν παντὶ κηροῖ, δεδόχθη τοῖ δάμοι Θεόμναστον Σκύλακος Ἁλικαρνασσεῖα πρ
ξενον εἶμεν κὴ εὐεργέταν τῶ κοινῶ Βοιωτῶν, αὐτὸν κὴ ἐσγόνως, κὴ εἶμεν αὐτ-
οῖ γᾶς κὴ Ϝοικίας ἔνπασιν, κὴ ἀσυλίαν, κὴ ἀσφάλιαν, κὴ κατὰ γᾶν κατὰ *θάλα-*
τ]*αν*, κὴ πολέμω ἰόντος κὴ ειράνας, κὴ τὰ ἄλλα πάντα ὑπαρχέμεν αὐτοῖ καθὰ κὴ τοῖ[ς
ἄ]λλοις προξένοις κὴ εὐεργέτης.

2 Ε]ὔβουλος Ἀμύντου εἶπεν· ἐπειδὴ Ἑκαταῖος Νουμηνίου Μεση[μ-
β]ριανὸς διατελεῖ εὔνους ὢν καὶ χρήσιμος τεῖ πόλει, δεδόχθαι τῶι δήμ[ωι
ε]ἶναι αὐτὸν πρόξενον καὶ εὐεργέτην τῆς πόλεως Ὠρωπίων, καὶ αὐτὸ[ν
κ]αὶ ἐκγόνους, καὶ δεδόσθαι αὐτῶι γῆς καὶ οἰκίας ἔνκτησιν, καὶ ἀσφάλει-
αν καὶ ἀσυλίαν, καὶ πολέμου καὶ εἰρήνης, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν,
καὶ ἰσοτέλειαν, καὶ τἆλλα πάντα καθάπερ τοῖς ἄλλοις προξένοις καὶ
εὐεργέταις.

3 Εὔβουλος Ἀμύμτου εἶπεν· ἐπειδὴ Πλάτωρ εὔνους ὢν διατελεῖ καὶ τῶν πολιτῶν ἀεὶ τοῖς δε-
ομένοις χρείας παρέχεται ἐν παντὶ καιρῶι, δεδόχθαι τεῖ βουλεῖ καὶ τῶι δήμωι Πλάτορα Ἐπι-
κάδου Διμα*λλ*ίτην πρόξενον εἶναι καὶ εὐεργέτην τῆς πόλεως Ὠρωπίων, καὶ αὐτὸν καὶ ἐκγό-
νους, καὶ εἶναι αὐτῶι γῆς καὶ οἰκίας ἔνκτησιν, καὶ ἰσοτέλειαν, καὶ ἀσυλίαν, καὶ ἀσφάλειαν, κα-
τὰ γῆν καὶ κατὰ θάλατταν, καὶ πολέμου ὄντος καὶ εἰρήνης, καὶ τἆλλα πάντα ὑπάρχειν αὐτῶι
καθάπερ τοῖς ἄλλοις προξένοις καὶ εὐεργέταις.

Τὰ γράμματα τοῦ 1ου ψηφίσματος (ὕψ. 0.007) φέρουσι κατὰ τὰ ἄκρα τῶν γραμμῶν βαθυτέραν τὴν χάραξιν ἐν εἴδει στιγμῆς. Τὰ τοῦ 2ου (ὕψ. 0.005) εἰσὶν ἀραιότερα, ὀλίγον ἐλάσσω καὶ κανονικώτερα τῶν τοῦ 3ου. Δὲν εἶνε ἀπίθανον ὅτι τὰ δύο τελευταῖα ψηφίσματα ἐγράφησαν πρὸ τοῦ 1ου· τοῦτο δὲ δύναταί πως νὰ εἰκασθῇ καὶ ἐκ τῶν ὀνομάτων. Εὔβουλος Ἀμύντου (Ἐφ. Ἀρχ. 1889 σελ. 47) καὶ Μείλιχος Ἀριστογείτονος (Ἐφ. Ἀρχ. 1886 σελ. 68) εἰπόντες ψηφίσματα ἐπὶ ἄρχοντος Φίλωνος φαίνονται ὄντες σύγχρονοι· ἐὰν δὲ ὁ παρὼν Λύσανδρος εἶνε ἐκείνου τοῦ Μειλίχου υἱός (πρβ. ἀρ. 46), τὸ ψήφισμα αὐτοῦ (1ον) ἀνακτέον εἰς τοὺς χρόνους τῶν μετὰ Φίλωνα ἀρχόντων καὶ δὴ μετὰ τὸν χρόνον τῶν τοῦ Εὐβούλου ψηφισμάτων. Προστεθήτω δὲ ὅτι καὶ ὁ ἀλλαχοῦ ἀπαντῶν Κλεόμαχος Μειλίχου (Ἐφ. Ἀρχ. 1889 σελ. 31) εἶπε ψηφίσματα ἐπὶ Στράτωνος ἄρχοντος ὑστέρου τοῦ Φίλωνος, καὶ Κλεόμαχος (ἁπλῶς) ἀναγράφεται ἱερεὺς ἐπὶ Καφισίου ὡσαύτως ἄρχοντος ὑστέρου τοῦ Φίλωνος (ἀρ. 56)· ἐὰν δὲ εἶνε ἀδελφὸς τοῦ Λυσάνδρου, ὁ χρόνος αὐτοῦ συμπίπτων τῷ τοῦ Λυσάνδρου προσυποδεικνύει τὸ ὑστερόχρονον τοῦ 1ου ψηφίσματος. Σημειωθήτω ἐν τούτοις ὅτι ὁ Κλεόμαχος Μειλίχου εἶπε ψήφισμα (Ἐφ. Ἀρχ. 1889 σελ. 31) καὶ ἐπὶ τοῦ αὐτοῦ καὶ ὁ Μείλιχος (αὐτ. σελ. 25) ἄρχοντος Διονυσίου.

1ον *ψήφισμα*. Τὸ πρῶτον ο τοῦ *πρόξενον* (στ. 3-4) καὶ τὸ πρῶτον τ τοῦ *θάλατταν* (στ. 5-6) δὲν φαίνονται. Ἐν ἀριστερᾷ ὁ λίθος εἶνε βεβλαμμένος. Ἐν τούτοις ἐὰν ἐτηρήθη ἡ κατὰ κάθετον τάξις ἐν τῇ χαράξει τῆς ἀρχῆς τῶν στίχων, πιθανώτερον ἴσως εἶνε ὅτι τὰ δύο εἰρημένα γράμματα παρελείφθησαν ὑπὸ τοῦ χαράκτου μᾶλλον ἢ ὅτι εὑρίσκοντο ἐν ἀρχῇ τοῦ 4ου καὶ 6ου στίχου.

Στίχ. 5. Μετὰ τὸ *κατὰ γᾶν* παρελείφθη ὑπὸ τοῦ χαράκτου τὸ *κή*.

Στίχ. 6. *καθὰ* ἀντὶ τοῦ συνήθους *καθάπερ*.

2ον *ψήφισμα*. Στίχ. 4. *δεδόσθαι* ἀντὶ τοῦ συνήθους *εἶναι*.

3ον *ψήφισμα*. Στίχ. 1. Ὑπὸ τοῦ χαράκτου ἐγράφη *Ἀμύμτου*.

Στίχ. 3. Ἡ πόλις φέρεται *Δίμαλος*, *Διμάλη*

καὶ *Διμάλλη* (*Dimallum*). Περὶ τῆς ὑπὸ Αἰμιλίου πολιορκίας αὐτῆς κτλ. Πολύβ. 3, 18. 7, 9. Liv. 29, 12 (3 καὶ 13).

Στίχ. 4. Τὸ ι τοῦ *αὐτῶι* εἶχε παραλειφθῇ ὑπὸ τοῦ χαράκτου, προσεχαράχθη δ' ἔπειτα, ὡς φαίνεται, πρὸς διόρθωσιν ἐν τῷ Γ τοῦ γῆς δευτέρα κάθετος γραμμὴ παράλληλος τῇ πρώτῃ.

Στ. 4. Μετὰ τὸ *ἀσφάλειαν* παρελείφθη τὸ σύνηθες *καί*.

53

Τμῆμα βάθρου, λευκοῦ μαρμάρου, τὰ δεξιὰ ἀποτεθραυσμένον εἰς τεμάχια. Ὕψ. 0.69, πλ. περ. 0.50, πάχ. 1.08 (ἄνω) καὶ 1.04 (κάτω). Εὑρίσκεται σεσαλευμένον ἐπὶ ὁμοίας βάσεως (πλάτ. σῳζ. 1.33), πιθανῶς αὐτῷ ἀνηκούσης καὶ 3 μέτρ. περ. ἀριστερόθεν τοῦ *Πόλυχρον* (Ἐφ. Ἀρχ. 1889 σελ. 50) κειμένης· εἰ κεῖται κατὰ χώραν ἡ βάσις, εἶνε ἀβέβαιον.

Ἀμφότερα τὰ μάρμαρα φέρουσι κόσμον πέριξ (ἡ βάσις ἐκ κυματίου, ταινίας καὶ πλίνθου, μονόλιθος) πλὴν ἐν δεξιᾷ, ὅπου ἐκ τῆς ἀναθυρώσεως, ὡς καὶ ἐκ τῆς ἔμπροσθεν ἐπιγραφῆς, συνάγεται ὅτι τὸ βάθρον συνέκειτο ἐκ πλειόνων μαρμάρων, κατὰ τὰ μέτρα δὲ κρίνοντι ἔστιν εἰκάσαι ὅτι ὑπῆρχεν ἔτι πρὸς μὲν τῷ τῆς βάσεως ἕν, πρὸς δὲ τῷ ἐπ' αὐτῆς ἐνεπιγράφῳ πλείονα μαρμάρινα τμήματα.

Τὸ ἐπὶ τῆς βάσεως εἰρημένον τμῆμα φέρει ἔμπροσθεν μὲν τὸ *Βασίλισσαν Ἀρ* καὶ ὑπ' αὐτῷ τὸ 1ον ψήφισμα, ἐπὶ δὲ τῆς ἀριστερᾶς ἐπιφανείας τὸ 2ον ψήφισμα.

Β Α Σ Ι Λ Ι Σ Σ Α Ν Α Ρ

1) ΑΡΧΟΝΤΟΣΕΝΚΟΙΝΩΙΒΟΙΩΤΩΝΔΙΟΝΥΣΙΟΥΕΠΙΔΕΠΟ
ΚΛΕΟΥΣΙΕΡΕΩΣΔΕΤΟΥΑΜΦΙΑΡΑΟΥΔΗΜΟΚΡΑΤΟΥΤΟΥΔΕ
ΝΕΑΝΔΡΟΣΝΕΑΝΔΡΙΔΟΥΕΙΠΕΝΠΡΟΒΕΒΟΥΛΕΥΜΕΝΟΝΑΥ
ΝΑΙΠΡΟΣΤΟΝΔΗΜΟΝΕΠΕΙΔΗΦΟΡΜΙΩΝΟΒΥΖΑΝΤΙΟΣΦΙΛ
ΤΟΥΒΑΣΙΛΕΩΣΠΤΟΛΕΜΑΙΟΥΚΑΙΛΕΓΩΝΚΑΙΠΡΑΤΤΩΝ
ΛΕΙΤΑΣΥΜΦΕΡΟΝΤΑΤΩΙΔΗΜΩΙΚΑΙΚΑΘΙΔΙΑΝΑΕΙΤΩ
ΤΩΝΤΩΙΧΡΕΙΑΝΕΧΟΝΤΙΤΗΝΠΑΣΑΝΣΠΟΥΔΗΝΠΟΙΕΙΤΑΙ
ΜΟΝΟΝΕΝΤΗΙΙΔΙΑΙΩΝΕΥΝΟΥΝΕΑΥΤΟΝΠΑΡΕΙΧΕΤΟΤΩ'
ΑΛΛΑΚΑΙΝΥΝΠΑΡΑΤΩΙΒΑΣΙΛΕΙΠΤΟΛΕΜΑΙΩΙΠΟΛΛ
ΣΥΜΦΕΡΟΝΤΑΣΛΟΓΟΥΣΠΟΙΕΙΤΑΙΥΠΕΡΤΗΣΠΟΛΕΩ
ΟΥΝΚΑΙΟΔΗΜΟΣΦΑΙΝΗΤΑΙΤΗΝΠΑΣΑΝΕΠΙΜΕΛΕΙΑ
ΜΕΝΟΣΤΩΝΕΥΕΡΓΕΤΟΥΝΤΩΝΕΑΥΤΟΝΔΕΔΟΧΘΑΙ
ΛΗΙΚΑΙΤΩΙΔΗΜΩΙΦΟΡΜΙΩΝΑΝΥΜΦΑΙΟΥΒΥΖΑ
ΠΡΟΞΕΝΟΝΕΙΝΑΙΚΑΙΕΥΕΡΓΕΤΗΝΤΗΣΠΟΛΕΩΣΩΡΩΠΙ
ΚΑΙΕΚΓΟΝΟΥΣΕΙΝΑΙΔΕΑΥΤΟΙΣΙΣΟΤΕΛΕΙΑΝΚΑΙΑΣΦΑΛΕ
ΣΥΛΙΑΝΚΑΙΠΟΛΕΜΟΥΟΝΤΟΣΚΑΙΕΙΡΗΝΗΣΚΑΙΚΑ
ΚΑΙΚΑΤΑΘΑΛΑΤΤΑΝΚΑΙΕΝΚΤΗΣΙΝΓΗΣΚΑΙΟΙΚ'
ΠΡΟΕΔΡΙΑΝΕΝΤΟΙΣΑΓΩΣΙΝΟΙΣΤΙΘΗΣΙΝΗΠΟΛ
ΣΟΔΟΝΠΡΟΣΤΗΝΒΟΥΛΗΝΚΑΙΤΟΝΔΗΜΟΝΠΡΩΤΟ
ΤΑΙΕΡΑΚΑΙΤΑΑΛΛΑΠΑΝΤΑΚΑΘΑΠΕΡΚΑΙΤΟΙΣΑ
ΞΕΝΟΙΣΚΑΙΕΥΕΡΓΕΤΑΙΣΤΗΣΠΟΛΕΩΣΥΠΑΡΧΓ
ΨΑΙΔΕΤΟΔΕΤΟΨΗΦΙΣΜΑΤΟΥΣΠΟΛΕΜΑΡΧΟ
ΠΙΙΕΡΕΩΣΔΗΜΟΚΡΑΤΟΥΤΟΥΔΕΥΤΕΡΟΥΕΝ
ΑΜΦΙΑΡΑΟΥΕΠΙΤΗΣΒΑΣΕΩΣΤΩΝΕΙΚΟΝ
ΣΙΛΕΩΣΠΤΟΛΕΜΑΙΟΥΚΑΙΤΗΣΒΑΣΙΛ'

Βασίλισσαν Ἀρ[σινόην

1) Ἄρχοντος ἐν κοινῶι Βοιωτῶν Διονυσίου, ἐπὶ δὲ πό[λεως Νικοκλέους, ἱερέως δὲ τοῦ Ἀμφιαράου Δημοκράτου τοῦ δε[υτέρου, Νέανδρος *Νεανδρίδου* εἶπεν· προβεβουλευμένον αὐ[τῶι εἶναι πρὸς τὸν δῆμον· ἐπειδὴ Φορμίων ὁ Βυζάντιος φί[λος ὢν τοῦ βασιλέως Πτολεμαίου καὶ λέγων καὶ πράττων [διατελεῖ τὰ συμφέροντα τῶι δήμωι καὶ καθ' ἰδίαν ἀεὶ τῶ[ν πολιτῶν τῶι χρείαν ἔχοντι τὴν πᾶσαν σπουδὴν ποιεῖται, [καὶ οὐ μόνον ἐν τῆι ἰδίαι ὢν εὔνουν ἑαυτὸν παρείχετο τῶ[ι δήμωι, ἀλλὰ καὶ νῦν παρὰ τῷ βασιλεῖ Πτολεμαίωι πολλ[οὺς καὶ συμφέροντας λόγους ποιεῖται ὑπὲρ τῆς πόλεω[ς· ὅπως οὖν καὶ ὁ δῆμος φαίνηται τὴν πᾶσαν ἐπιμέλει[αν ποιούμενος τῶν εὐεργετούντων ἑαυτόν, δεδόχθαι [τῆι βουλῆι καὶ τῶι δήμωι Φορμίωνα Νυμφαίου Βυζά[ντιον πρόξενον εἶναι καὶ εὐεργέτην τῆς πόλεως Ὠρωπί[ων, αὐτὸν καὶ ἐκγόνους, εἶναι δὲ αὐτοῖς ἰσοτέλειαν, καὶ ἀσφάλε[ιαν, καὶ ἀσυλίαν, καὶ πολέμου ὄντος καὶ εἰρήνης, καὶ κα[τὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ἔνκτησιν γῆς καὶ οἰκ[ίας, καὶ προεδρίαν ἐν τοῖς ἀγῶσιν, οἷς τίθησιν ἡ πόλ[ις, καὶ πρόσοδον πρὸς τὴν βουλὴν καὶ τὸν δῆμον πρώτο[ις μετὰ τὰ ἱερά, καὶ τὰ ἄλλα πάντα καθάπερ καὶ τοῖς [ἄλλοις προξένοις καὶ εὐεργέταις τῆς πόλεως ὑπάρχ[ει· ἀναγράψαι δὲ τότε τὸ ψήφισμα τοὺς πολεμάρχο[υς τοὺς ἐπὶ ἱερέως Δημοκράτου τοῦ δευτέρου ἐν [τῶι ἱερῶι τοῦ Ἀμφιαράου ἐπὶ τῆς βάσεως τῶν εἰκόν[ων τοῦ βασιλέως Πτολεμαίου καὶ τῆς βασιλ[ίσσης Ἀρσινόης.

Τοῦ *Βασίλισσαν Ἀρ* (ὕψ. γρμ. ὡς 0.03) τὸ *α* ἔχει καμπύλην τὴν μεταξὺ τῶν σκελῶν γραμμήν.

